Ἐπίσης εἰς πλείστην ἡμᾶς ἀπορίαν ἐμβάλλουσι περὶ τῆς ὄντως διανοίας αὐτῶν καὶ οἱ δύο ἢ τρεῖς ἑπόμενοι στίχοι (14-16): ὁ] μὲν ἕτερος τοῖς δ]ιώκουσιν, ὁ δὲ ἕτερος] τοῖ[ς φ]εύγου[σ]ιν. Ἀλλὰ περὶ κάδων δύο (Bl.) ἆρά γε πρόκειται ἢ μᾶλλον περὶ ἄλλου τινός; Ἔπειτα, ἀφ' οὗ καὶ οἱ δικασταὶ ὡσαύτως τὸ ἴσον ὕδωρ ἐλάμβανον, δὲν ὠφείλομεν ἆρά γε ν' ἀναμένωμεν οὐχὶ δύο, ἀλλὰ μᾶλλον τρεῖς κάδους;

δ' Στίχ. 17-22. Ἀκόλουθοι ὄντες οἷς ἐν τῇ πραγματείᾳ περὶ ἀγώνων ἀτιμήτων καὶ τιμητῶν κατὰ διέξοδον διελάβομεν, ἐνταῦθα σχεδὸν μετὰ βεβαιότητος ἀποφαινόμεθα ὅτι ὁ λόγος ἦν περὶ τῶν τιμητῶν ἀγώνων, ὡς ἄλλως ἐμφαίνουσι καὶ τὰ συμφραζόμενα· διὰ δὲ ταῦτα καὶ συμπληροῦμεν ὡς ἀνωτέρω (2). Μόνον περὶ τῆς ἀκριβείας τοῦ ἀριθμοῦ Γ̄ (στίχ. 19) σφόδρ' ἀμφιβάλλομεν, διότι κατὰ τὰ συμπεράσματα εἰς ἃ ἤδη κατελήξαμεν καὶ ἃ δικαιολογοῦμεν ἐν τῇ πραγματείᾳ, ἐνταῦθα περὶ τιμητῶν ἀγώνων ὄντος τοῦ λόγου, ὠφείλομεν ν' ἀναμένωμεν ἢ B̄ ἢ Δ̄, ἵνα ὁ νοῦς ᾖ ὅτι ἐπὶ τῶν τιμητῶν ἀγώνων ἡ ἡμέρα διαιρεῖται εἰς μέρη δύο ἢ τέσσαρα, ὧν τὸ ἥμισυ ($^1/_2$ ἢ

(1) Ἴσως: μὴ λαμβάνον]τε[ς] γὰρ ἔσπευδον [ἂν ...

(2) Ἐν στίχ. 21 ἐπειδή, καθ' ἡμᾶς, περὶ τῶν τιμητῶν μόνον ἀγώνων πρόκειται, γράφομεν **καὶ** ἀντὶ τοῦ **ἢ** οὐ κεῖται ἐν τοῖς νό]μ̣ο̣ις, κελεύσει τοῦ σοφωτάτου Βλασσίου, ᾧ εὐλαβῶς ἤδη ὑπεβάλομεν τήνδε τὴν εἰκασίαν.

$^2/_4$), τὸ ἥμισυ δῆλον ὅτι τῆς ὅλης ἡμέρας, τοῖς δικασταῖς δίδοται(1).

Ἐν στίχ. 18 συμπληροῦμεν: τῷ διαψη[φισμῷ τῷ δευτέρ]ῳ (τὸ δὲ ῳ νῦν ἀναγιγνώσκει ὁ Κενυών), ἀκριβῶς διότι ὅ τε νοῦς τῶν συμφραζομένων καὶ τὰ πράγματα αὐτὰ οὕτω κελεύουσι. Τῷ ὄντι, τούτου ἕνεκα μάλιστα, τοῦ ἐν τοῖς τιμητοῖς ἀγῶσιν ἀεὶ ἐνδεχομένου δευτέρου διαψηφισμοῦ, ἐπάναγκες ἦν ἵνα πλεῖον τοῦ τρίτου μέρους τοῦ ὅλου ὕδατος προσεπιμετρῆται τοῖς δικασταῖς. Καὶ περὶ τούτων δὲ διαλαμβάνομεν εἰδικώτερον ἐν τῇ πραγματείᾳ.

ε' Στίχ. 22-23. Ἔν τε τῇ τοῦ Βλασσίου καὶ τῇ τοῦ Κενυῶνος ἐκδόσει, ὡσαύτως δ' ἐν τῇ τῶν K.-W[3], ἐν στίχ. 22 ἀναγιγνώσκεται: τὰ δὲ πολλ[ὰ τῶν [δικ]αστηρίων, περὶ δὲ τούτων ὁ Kenyon ὑποσημειοῦται: «τὰ δὲ πολλὰ Wn. spatio non satis, nisi fuit intervallum ante τα». Ἕνεκα τῆς καλλίστης παρατηρήσεως ταύτης καὶ διότι ἐνταῦθα περὶ τῶν δημοσίων μόνον ἀγώνων πρόκειται, ᾐκάσαμεν: [τὰ δὲ δημόσι]α τῶν δικαστηρίων. Μηδενὶ δὲ φανῇ παράδοξος ἡ ὀνομασία αὕτη, διότι αὐτὸς ὁ Ἀριστοτέλης, ὡς ἤδη παρετηρήσαμεν ἐν τοῖς ἔμπροσθεν (σελ. 25 σημ. 2), περὶ τῶν Θεσμοθετῶν λέγων, τάδε διδάσκει αὐταῖς λέξεσιν ἐν Κεφ. 59. 5: καὶ ἐπικληροῦσι ταῖς ἀρχαῖς οὗτοι τὰ δικαστήρια τά ⟨τ'⟩ **ἴδια** καὶ τὰ **δημόσια**. Ἀλλὰ καὶ ἄλλος ἔτι λόγος συνηγορεῖ ὑπὲρ τῆς ἀναγνώσεως ταύτης· διότι τουτέστι περὶ δημοσίων μόνον δικαστηρίων ἐδύνατο νὰ λεχθῇ, ὃ κατωτέρω διαρρήδην λέγεται, ὅτι δύο ἢ τρία κατὰ τὰς ἑκάστοτε περιστάσεις συνερχόμενα, ἀπετέλουν τὰ μέγιστα τῶν δημοσίων δικαστηρίων, ὁτὲ μὲν ἐκ 1001 ὁτὲ δ' ἐκ 1501 δικαστῶν συνιστάμενα. Νομίζομεν μάλιστα ὅτι ἐντεῦθεν προσῆκον εἶνε νὰ συναγάγωμεν, ὅτι τὰ τὰς κυρίως δημοσίας δίκας ἢ γραφὰς δικάζοντα δικαστήρια, διὰ δὲ τοῦτο δημόσια καλούμενα, ἐκ τοῦ αὐτοῦ ἀεὶ ἀπετελοῦντο ἀριθμοῦ δικαστῶν, τουτέστιν ἐξ ἑνὸς καὶ πεντακοσίων.

(1) Σημειωτέον δ' ὅτι τὸ Δ, καθὰ ἡμᾶς εὐμενῶς πάνυ διδάσκουσιν ὅ τε Blass καὶ ὁ Kenyon, φαίνεται μάχεσθαι πρὸς τὰ μετὰ τὸ ἐπὶ τοῖς ἴχνη τοῦ ἐξαληλιμμένου γράμματος, κατὰ τὸν Βλάσσιον[4] ὁμοιάζοντος μᾶλλον πρὸς Γ.

Ὡσαύτως πιθανὸν ἡμῖν φαίνεται ὅτι ἐν στίχ. 17, εὐθὺς μετὰ τὰς λέξεις: ἐν δὲ τοῖς [τιμητοῖς ἀγῶσι, ἔνθα νῦν εἰσὶ τὰ ἀμφίβολα γράμματα: . . . ατο . . . ἔξειλε, ὡρίζετο ἴσως τὸ τῷ δευτέρῳ διαψηφισμῷ διδόμενον ἀναγκαῖον ποσὸν ὕδατος, μέρος καὶ τοῦτο τῆς διαμεμετρημένης ἡμέρας, ἐξαιρούμενον ἐξ αὐτῆς, ὅτι δὲ τοῦ ποσοῦ τούτου μνημονευομένου, εἵπετο εἶτα, ὡς ἐπεξήγησις: διαιρεῖται δ' ἡμέρα ἐπὶ τοῖς [. (;)

Τοὐναντίον, ἐπειδὴ τὰ ἴδια δικαστήρια ἄλλοτ' ἐξ ἄλλου ἐπληροῦντο ἀριθμοῦ δικαστῶν, κατὰ τὰς περὶ τῶν δικῶν ἑκάστων εἰδικὰς διακελεύσεις τοῦ νόμου, τούτου ἕνεκα οὐδ' ἐδύνατο νὰ ῥηθῇ περὶ αὐτῶν, ὥσπερ περὶ μόνων τῶν δημοσίων δικαστηρίων, ὅτι δύο ἢ τρία συνερχόμενα ἀπετέλουν τὴν ἡλιαίαν.

Περὶ δὲ τοῦ στίχ. 23 ὁ Κενυὼν παρατηρεῖ τάδε: «ante ασιν, σθε. . habet L, sed erasum, et suprascriptum est σο». Πῶς ὅμως συμπληρωτέον τὸ χάσμα; Ὁ νοῦς ἴσως καὶ τοῦδε τοῦ στίχου εἶν' ὁ ἑξῆς: καὶ τούτοις τὰς δημοσίας δίκας ἢ τὰς γραφὰς ἢ τοὺς δημοσίους ἀγῶνας διδό]ασιν (1).

ς' Στίχ. 23-27. Καθὰ ἐν τῇ πραγματείᾳ παρατηροῦμεν, προκύπτει δὲ καὶ ἐκ τῆς ἀμέσως ἡγουμένης παρατηρήσεως, ἐν τοῖς στίχοις τούτοις οὐχ ἁπλῶς περὶ τῶν δημοσίων γραφῶν πρόκειται, ὡς ἤδη ἐν στίχ. 24 οἱ K-W-[3] ἀνεπλήρωσαν (2), τούτοις δὲ ἀκολούθως καὶ οἱ ἄλλοι ἐκδόται, ἀλλὰ πολλῷ μᾶλλον περὶ τοῦ κατὰ Ἁρποκρατίωνα (3) πρώτου εἴδους τῶν εἰσαγγελιῶν «ἐπὶ δημοσίοις ἀδικήμασι μεγίστοις καὶ ἀναβολὴν μὴ ἐπιδεχομένοις καὶ ἐφ' οἷς μήτε ἀρχὴ καθέστηκε μήτε νόμοι κεῖνται τοῖς ἄρχουσι καθ' οὓς εἰσάξουσιν, ἀλλὰ πρὸς τὴν βουλὴν ἢ τὸν δῆμον ἡ πρώτη κατάστασις γίνεται». Περὶ τούτων καὶ ἄλλοτε διὰ μακρῶν διελάβομεν καὶ νῦν ἐν τῇ πραγματείᾳ λέγομεν τὰ εἰκότα. Εἶνε δὲ σφόδρα πιθανόν, καθ' ἡμᾶς, ὅτι ὡρίζετο ἅμα καὶ πότε, κατά τινα διάκρισιν, ἣν ἔτι ἐξακολουθοῦμεν ζητοῦντες, ὁτὲ μὲν δύο, ὁτὲ δὲ τρία δημόσια

(1) Ἀλλ' ἐπειδὴ καὶ ἁπλούστερον ἔτι ἔγραφεν ἴσως ὁ Ἀριστοτέλης, διὰ ταῦτα ἀνεπληρώσαμεν: ἐστὶ φ[ά καὶ τούτοις τὰ δημ]ΟCΙΑ [διδό]ασιν. Πρβλ. στήλ 33 στίχ. 24 ἑπ: «ὅταν μὲν τὰ ἴδια [δι]κάζωσι, τοὺς ἰδίους . . . [ὅταν] δὲ τὰ δ[η]μόσια, τοὺς δημοσίο[υ]ς».

Σημειωτέον ὅμως ὅτι καθὰ ὁ ἐλλογιμώτατος Κενυών, εὐμενῶς ἡμῖν χαριζόμενος, πρὸ ὀλίγων μόλις ἡμερῶν ἐγνώρισεν ἡμῖν, καὶ τὸ ὑπὸ τοῦ κριτικωτάτου Βλασσίου εἰκασθὲν ἤδη ἐν τῷδε τῷ στίχῳ ἀποδιδό]ασιν νῦν οὐ, εὑρίσκει ὅλως ἀδύνατον, διότι, λέγει, τὰ ὕπερθεν τοῦ στίχου γεγραμμένα γράμματα CΘ δύνανται νὰ ἐκληφθῶσιν καὶ ὡς ἐπανάληψις τῶν κάτωθι ἀποσβεσθέντων γραμμάτων, ὅτι δὲ τὰ εὐθὺς ἑπόμενα γράμματα θὰ ἐδύναντο ν' ἀναγνωσθῶσιν ὡς ΑΠ, ὅτε ἕξομεν ἀποδόασιν, ὑποτιθεμένης ἄνωθεν τοῦ στίχου, ἐν τῷ χάσματι, τῆς συλλαβῆς δι: $\overset{\text{δι}}{\text{ἀποδόασιν}}$.

(2) Στήλ. 34 στίχ. 24: ὅταν δὲ δέ[ῃ τὰς δημοσίας γραφ]ας [εἰ]σαγαγεῖν κτέ.

(3) Ἐν λ. Εἰσαγγελία.

δικαστήρια συνήρχοντο. Εἰκασίαι περὶ τοῦ τελευταίου τούτου ζητήματος πολλαὶ ἄχρι τοῦδε ἐπῆλθον ἡμῖν, ἀλλὰ μία πασῶν, τόγε νῦν ἔχον, πιθανωτάτη ἡμῖν φαίνεται, ὅτι τουτέστιν ἡ ἐκκλησία, παραπέμπουσα εἰς τὴν ἡλιαίαν τοὺς περὶ τῶν μεγίστων δημοσίους ἀγῶνας, ὥριζεν ἅμα, κατὰ λόγον τῆς ἑκάστοτε σπουδαιότητος τοῦ ἀγῶνος, ἴσως δὲ καὶ τοῦ εἴδους αὐτοῦ, καὶ τὸν ἀριθμὸν τῶν μελλόντων νὰ δικάσωσιν αὐτὸν δικαστῶν. Τούτοις ἀκολούθως ἐν στίχ. 23-24 ἀνεπληρώσαμεν: ὅταν | δὲ δέ[ῃ τι ἐκ τῆς ἐκκλησί]ας ε[ἰς ā εἰ]σαγαγεῖν, συν]έρχεται κτλ. (1).

Ὅσον ἀφορᾷ εἰς τὴν τοῦ ἑπομένου στίχου 26 ἀναπλήρωσιν (2), δυσχερεστάτην καὶ ταύτην, μάλιστα διότι ἀγνοοῦμεν τὰ πράγματα, νομίζομεν ὅμως ὅτι, ἕνεκα τῆς προφανῶς στενοτάτης αὐτοῦ σχέσεως πρὸς τὴν ἀμέσως ἡγουμένην πρότασιν (: ὅταν δὲ δέῃ τι — εἰς τὴν ἡλιαίαν), ὅπως εὐοδωθῇ ἡ σύνταξις, ἠναγκασμένοι ἐσμὲν ἵν' ἐπαναλάβωμεν μὲν τὸ ὅταν μετά τινος ῥήματος οἵου δή ποτε, ἐξεύρωμεν δέ τινα γενικὸν ὅρον, δηλοῦντα τὰ εἰς φ' καὶ α' εἰσαγόμενα ἀδικήματα.

Ἐγὼ μὲν οὖν ὑμῖν, ὦ νόμοι, βεβοήθηκα ὅσα εἶχον· λοιπὸν δ' ἐστὶ δεῖσθαι τῶν φιλολόγων καὶ τοὺς τὰ τῶν γραφέων αἰνίγματα εἰδότας παρακαλεῖν.

Τῇ 25 Φεβρουαρίου, 1904.

Π. Σ. Φ.

(1) Περὶ τοῦ δέῃ τι πρβλ. κεφ. 54.6: «κἄν τι καλλιερῆσαι δέῃ, καλλιεροῦσι κτέ.» κεφ. 31.2: «κἄν τι δέωνται συμβουλεύεσθαι μετὰ τῆς βουλῆς κτέ.

(2) Ἀναγκαῖον νομίζομεν ἵνα ὑπομνήσωμεν ὧδε ὅτι ἐν στίχ. 26 ἀντὶ κλε, ἅπερ ὁ Wilcken ἀνέγνω, ὁ Kenyon ἀναγιγνώσκει κνα, ἃ ὅμως ὡσαύτως λέγει εἶναι ἀμφίβολα.

ΔΙΟΡΘΩΤΕΑ

Σελ.	21	στίχ.	26	ἀντὶ	μηδὲ	γράφ.	οὐδὲ
»	31	»	32	»	τρισκαίδεκα	»	τριακαίδεκα

Η ΙΣΟΚΡΑΤΕΙΟΣ ΡΗΤΟΡΙΚΗ

Οὐκ Ἰσοκράτεια εἶναι ἡγούμενος σὺν Θείλῳ (1) ἃ Σπεγγέλῳ (Συναγωγὴ τεχνῶν) συνείλεκται ὡς τῆς Ἰσοκράτους γεγραμμένης τέχνης λείψανα, ἀλλὰ πολλῷ ὑστέρων πλάσματα ἀνδρῶν, πειράσομαι τρίτος αὐτὸς μετὰ Ναβάρρον (2) καὶ Σχηχανὸν (3) ἰδίῳ τρόπῳ καὶ μεθόδῳ ἐκ τῶν Ἰσοκρατείων λόγων ἃ περὶ τῆς τέχνης ὁ ἀνὴρ ἐδόξαζε πορίσασθαί τε καὶ λόγῳ δηλῶσαι.

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Α'. ῥήτωρ, ῥητορικός, ῥητορική, ῥητορεύω, δημηγορῶ, ἀγορεύω.

1. Τὸ ὄνομα **ῥήτωρ** πλειστάκις μὲν εἰρημένον Ἰσοκράτει εὑρίσκεται, βούλεται δὲ λέγειν οὐ τὸν λογογράφον οὐδὲ τὸν ἐν δίκαις θατέρῳ τῶν διαδίκων συνηγοροῦντα οὐδὲ τὸν τὴν ῥητορικὴν διδάσκοντα ἢ τέχνας συγγράφοντα οὐδὲ τὸν ἐπιδεικτικοὺς λόγους γράφοντα ἢ λέγοντα, ἀλλὰ τὸν ἐν τῷ δήμῳ ἀγορεύοντα καὶ προστατοῦντα καὶ δύναμιν ἔχοντ' ἐν αὐτῷ· διὸ καὶ εὕρηται πολλάκις συνημμένον μὲν τῷ τε στρατηγῷ καὶ τῷ δημαγωγῷ καὶ τῷ δυνάστῃ καὶ τῷ βασιλεῖ καὶ τῷ τυράννῳ, ἐναντίως δὲ λεγόμενον τῷ ἰδιώτῃ· οἷον (5,81 ἐκδ. Benscler) «μὴ θαυμάσῃς εἰ μήτε στρατηγὸς ὢν μήτε ῥήτωρ μήτε ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων», καὶ (8,129) «γένος οὐδὲν ἐστι κακονούστερον

(1) Hermes XXVII p. 11.
(2) Fssai sur la rhetorique Greque. Paris 1900.
(3) De fide artis Rhetoricæ Isocrati tributæ. Bonnæ 1901.

τῷ πλήθει τῶν πονηρῶν ῥητόρων καὶ δημαγωγῶν», καὶ (15,32) «Οὐ γὰρ μόνον ἰδιώτας φησί μου γενέσθαι μαθητάς, ἀλλὰ καὶ ῥήτορας καὶ στρατηγοὺς καὶ βασιλεῖς καὶ τυράννους», καὶ (7,14) «Ταύτῃ (τῇ πολιτείᾳ) καὶ τοὺς νόμους καὶ τοὺς ῥήτορας καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι», ἔνθ' ὁ ῥήτωρ τῷ ἄρχοντι ἴσον ἂν δύναιτο. Ἀλλὰ καὶ ἐπὶ τῶνδε τῶν παραδειγμάτων οὐδὲν ἀλλ' ἢ τὸν πολιτικὸν ἄνδρα, τὸν δημηγορεῖν δυνάμενον καὶ συμβουλεύειν τῷ δήμῳ εἴτ' ἀγαθὰ εἴτ' οὖν πονηρὰ ἴδοις ἂν τὸν ῥήτορα σημαίνοντα· ἐπὶ τοῦ (5,2) «Ὁρῶν τὸν πόλεμον τὸν ἐνστάντα σοι (Φιλίππῳ) καὶ τῇ πόλει--ἐπεχείρησα λέγειν--οὐδὲν τῶν αὐτῶν --τοῖς ὑπὸ τῶν ῥητόρων τῶν παρ' ἡμῖν (λεγομένοις)», καὶ ἐπὶ τοῦ (8,5) «πεποιήκατε τοὺς ῥήτορας μελετᾶν καὶ φιλοσοφεῖν οὐ τὰ μέλλοντα τῇ πολει συνοίσειν», καὶ (8,26) «περὶ ὧν οὐδεὶς πώποτε τῶν ῥητόρων εἰπεῖν ἐν ἡμῖν ἐτόλμησεν», καὶ (8,124) «οὕτω χαίρομεν ταῖς τῶν ῥητόρων πονηρίαις», καὶ (9,45) «τίς ἂν ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν», ἔνθα ὁ λόγων εὑρετὴς ὁ ἐπιδεικτικὸς ἂν εἴη ῥήτωρ ὁμοίως καὶ ἀλλαχοῦ που ῥηθείς, (5,144) «τὴν Εὐρυσθέως δύναμιν οὐδεὶς ἂν οὔτε λόγων εὑρετὴς οὔτε ποιητὴς ἐπαινέσειεν», καὶ (12,12) «Πάντες ἴσασι τῶν μὲν ῥητόρων τοὺς πολλοὺς οὐχ ὑπὲρ τῶν τῇ πόλει συμφερόντων δημηγορεῖν τολμῶντας», καὶ 12,15) «τῶν μὲν γὰρ ῥητόρων τὸν τρόπον ψέγοντες προστάτας αὐτοὺς τῆς πόλεως ποιοῦνται». Ταὐτὸν δὲ δυνάμενον ζητῶν ἂν εὕροις καὶ τὸν ἀλλαχοῦ που Ἰσοκράτους εἰρημένον ῥήτορα (14,3.4.15,112.146.203 214.16,7). Τὸν δὲ τὸ παράπαν εὖ λέγειν ἢ λόγους γράφειν δυνάμενον οὐ ῥήτορα, ὥσπερ οἱ ἄλλοι, Ἰσοκράτης λέγειν εἴωθεν, ἀλλ' ἕτερον ὄνομα χαίρει ὀνομάζων.

2. Ὁ **ῥητορικὸς** δ' ἐστιν αὐτοῦ Ἰσοκράτους διδάσκοντος ὁ ἐν τῷ πλήθει λέγειν δυνάμενος· εἶπε γὰρ ἐν Νικοκλεῖ αὐτὸν ὁριζόμενος (2,8) «ῥητορικοὺς μὲν καλοῦμεν τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους» καὶ ἐν Ἀντιδόσει (274) ταὐτὰ λέγων.

3. Ἡ δὲ **ῥητορικὴ** οὐδαμοῦ Ἰσοκράτους εἰρημένη εὑρίσκεται, ἄλλοις ὀνόμασιν ὅπερ αὕτη βούλεται εἰπόντος.

4. Τὸ δὲ **ῥητορεύειν** ἐστὶ μὲν τὸ ἐν τῷ πλήθει λέγειν, ἔστι δὲ καὶ τὸ κατ' Ἰσοκράτη ῥήτορα εἶναι καὶ τοῦτο πράττειν καὶ ἐπιτη-

δεύειν· μαρτύριον δὲ το τε ἐν Φιλίππῳ που (25) λεχθὲν «πάντες ὑπειλήφασι τοὺς μὲν (λεγομένους λόγους) περὶ σπουδαίων πραγμάτων καὶ κατεπειγόντων ῥητορεύεσθαι» καὶ τὸ τῆς ὀγδόης ἐπιστολῆς που (27) «ἐγὼ τοῦ μὲν πολιτεύεσθαι καὶ ῥητορεύειν ἀπέστην».

Μᾶλλον δ' ἂν αὐτῷ περὶ αὐτῶν τούτων εἰρημένον τὸ **δημηγορῶ** ἂν εὕροις· εἶπε γὰρ ἔν τε τῷ περὶ Εἰρήνης (9) «οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων», καὶ (27). Ἀνάγκη δὲ τὸν ἔξω τῶν εἰθισμένων ἐπιχειροῦντα δημηγορεῖν -- πολλῶν πραγμάτων ἅψεσθαι», καὶ ἐν τῷ Παναθηναϊκῷ (29) «τὴν αὐτὴν δὲ γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων», καὶ τῶν ἐπιστολῶν ἔν τε τῇ πρώτῃ (9) «Καὶ μὴ θαυμάσῃς εἰ μήτε δημηγορῶν μήτε στρατηγῶν μήτ' ἄλλως δυνάστης ὢν οὕτως ἐμβριθὲς αἴρομαι πρᾶγμα»· ἔνθα γε σαφῶς ἂν ἴδοις ὡς ὁ δημηγορῶν αὐτός ἐστι τῷ ῥήτορι, ὥσπερ οὗτος (1) τῷ στρατηγῷ τε καὶ τῷ δυνάστῃ συνεζευγμένος ἐν λόγῳ· καὶ ἐν τῇ ὀγδόῃ (10 «ἂν μὴ δημηγορῶσι μηδὲ στρατηγῶσι», ὁμοίως τοῦ δημηγορεῖν τῷ στρατηγεῖν ἀντιστοιχοῦντος.

5. Ἐλέχθη δὲ τοῦ Ἀρχιδάμου που καὶ **ἀγορεύω** ταὐτὰ τῷ δημηγορῶ δυνάμενον, (2) «τῶν εἰθισμένων ἐν ἡμῖν ἀγορεύειν».

Β'. Γένη τῶν λόγων.

Γένη τοῦ καταλογάδην λόγου παντοῖά τε καὶ δυσαρίθμητα κατ' Ἰσοκράτη τυγχάνει ὄντα· λέγει γὰρ τῆς Ἀντιδόσεώς που (45) «τρόποι (γένη) εἰσὶν οὐκ ἐλάττους ἢ τῶν μετὰ μέτρου ποιημάτων. Οἱ μὲν γὰρ τὰ γένη τὰ τῶν ἡμιθέων ἀναζητοῦντες τὸν βίον τὸν αὑτῶν κατέτριψαν (λογογράφοι), οἱ δὲ περὶ τοὺς ποιητὰς ἐφιλοσόφησαν (τῶν νεωτέρων λογογράφων τινές), ἕτεροι δὲ τὰς πράξεις τὰς ἐν τοῖς πολέμοις συναγαγεῖν ἐβουλήθησαν (ἱστορικοί), ἄλλοι δέ τινες περὶ τὰς ἐρωτήσεις καὶ τὰς ἀποκρίσεις γεγόνασιν, οὓς ἀντιλογικοὺς (Σωκρατικοί ;) καλοῦσιν. Εἴη δ' ἂν οὐ μικρὸν ἔργον, εἰ πάσας τις τὰς ἰδέας (τὰ εἴδη) τὰς τῶν λόγων ἐξαριθμεῖν ἐπιχειρήσειεν».

Ἕτερον δὲ λόγων γένος, περὶ οὗπερ πολλαχοῦ τῶν λόγων ἔτυχεν εἰπών, οἱ λόγοι οἱ ἐρεστικοὶ ἂν εἶεν, ἄλλοι τινές, ὡς ἔοικεν, ὄν-

τες ἢ οἱ ἀντιλογικοὶ (15,45), τῶν δὲ περὶ τὰς ἔριδας λεγομένας σοφιστῶν ἢ φιλοσόφων· εἶπε γὰρ ἐν μὲν τῷ πρὸς Νικοκλέα (5) «καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν --φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας», ἐν δὲ τῷ Παναθηναϊκῷ (26) «λέγω δὲ τήν τε γεωμετρίαν καὶ τὴν ἀστρολογίαν καὶ τοὺς διαλόγους τοὺς ἐριστικοὺς καλουμένους», ἐν δὲ τῇ Ἀντιδόσει (280) «ἡγοῦμαι γὰρ τοὺς ἐν τοῖς ἐριστικοῖς λόγοις δυναστεύοντας--οὐ βλάπτειν τοὺς συνόντας», ἐν δὲ τῷ κατὰ Σοφιστῶν (20) «οὗτοι μὲν (οἱ ἐριστικοὶ) τοιαῦτα λογίδια διεξιόντες, ὅμως ἀρετὴν ἐπηγγείλαντο».

Ἴδιον δὲ λόγων γένος οἱ ῥητορικοὶ δήπου λόγοι τυγχάνουσιν ὄντες, περὶ ὧν αὐτίκα ἡμῖν ἰδίᾳ λόγος ἔσται.

Γ'. Λόγος

1. Τὸν ῥητορικὸν ὡς τὸ ἐπίπαν εἰπεῖν λόγον Ἰσοκράτης **λόγον** ἁπλῶς φιλεῖ λέγειν. Εἶπε μὲν γὰρ τοῦ Νικοκλέους που (1) «διὰ τοὺς ἐξαμαρτάνοντας καὶ τοὺς ψευδομένους χαλεπῶς πρὸς τοὺς λόγους ἔχουσι»· λέγει δὲ ταῦτα ἀπολογούμενος πρὸς ἃ τότε τῆς ῥητορικῆς πολλοὶ κατηγόρουν, ὧν καὶ Πλάτων ἦν· εἶπε δ' ἐν τῷ Πανηγυρικῷ (10) «ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν»· ἐν οἷς ἡ περὶ τοὺς λόγους φιλοσοφία οὐδὲν ἄλλο οὖσα δηλοῖ ἢ ἡ τέχνη ἡ ῥητορική, οἱ δὲ λόγοι οὐδὲν ἄλλ' ἢ ῥητορικοὶ λόγοι ὄντες. Τούτοις δ' ὅμοια πόλλ' ἂν προσθεῖμεν παραδείγματα τἀληθὲς τοῦ λόγου ἡμῖν μαρτυροῦντα, οἷον ἐκ μὲν τοῦ Πανηγυρικοῦ (11) «Καίτοι τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι», καὶ (12) «(τοὺς) ζητήσοντας ἰδεῖν τὸ τοιοῦτον ἐν τοῖς ἐμοῖς (λόγοις)», καὶ (13) «χαλεπόν ἐστιν ἴσους τοὺς λόγους τοῖς ἔργοις ἐξευρεῖν», καὶ (17) «ἀλλ' οὖν τούς γε λόγους ὥσπερ χρησμοὺς εἰς τὸν ἐπιόντα χρόνον ἂν κατέλιπον» (τῶν συμβουλευόντων τῇ πόλει ῥητόρων τε καὶ δυναστῶν τοὺς λόγους λέγει), ἐκ δὲ τοῦ Φιλίππου (1) «Τοῦ λόγου ποιήσομαι τὴν ἀρχὴν--τοῦ περὶ Ἀμφιπόλεως γραφέντος», καὶ (7) «ἤλπισαν ὅσοιπερ ἤκουσαν διαδοθέντος τοῦ λόγου διαλύσεσθαι τὸν πόλεμον ὑμᾶς», καὶ (αὐτ.) «πρὶν ἐξεργασθῆναι τὸν λόγον», καὶ

(25) «διαφέρουσι τῶν λόγων εἰς τὸ πείθειν οἱ λεγόμενοι τῶν ἀναγιγνωσκομένων», καὶ ἐκ τοῦ Εὐαγόρου (11) ἀποπειρατέον τῶν λόγων ἐστίν, εἰ καὶ τοῦτο δυνήσονται, τοὺς ἀγαθοὺς ἄνδρας εὐλογεῖν», καὶ (44 Bekk.) «Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν λόγων αὐτῷ προσῆκεν ἀξιοῦσθαι», καὶ (45 Bek,), «τίς ἂν ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειε;», καὶ (90 Bk.) «(τὰς εἰκόνας), ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε», καὶ (93 Bk.) τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόν τ' ἔστιν εἰς τὴν Ἑλλάδα», καὶ (94) «ἐπεχείρησα γράφειν τὸν λόγον τοῦτον», καὶ ἐκ τοῦ κατὰ Σοφιστῶν (12) «τὸ δὲ τῶν λόγων πᾶν τοὐναντίον πέπονθε», καὶ (13) «τοὺς μὲν γὰρ λόγους οὐχ οἷόν τε καλῶς ἔχειν», καὶ ἐκ τῆς Ἀντιδόσεως (15) «οἱ μὲν ἄλλοι τοῖς λόγοις διαλύονται τὰς διαβολάς, ἐμοῦ δὲ Λυσίμαχος αὐτοὺς τοὺς λόγους μάλιστα διαβέβληκε.» Καὶ ἄλλα δὲ πολλὰ ὁμοίως κεχρημένον τοῖς λόγοις ἢ τῷ λόγῳ Ἰσοκράτην ἂν εὕροις.

Δ΄. Ῥητορική.

1. Τὴν μὲν ῥητορικὴν τοὔνομα Ἰσοκράτης, ὅπερ λέγω, οὐδαμοῦ τῶν αὑτοῦ λόγων εἰπὼν φαίνεται· ἀντ' αὐτῆς δ' εἶπε μὲν **τὴν περὶ τοὺς λόγους φιλοσοφίαν,** οἷον (4,10) «ἡγοῦμαι δ' οὕτως ἂν μεγίστην ἐπίδοσιν λαμβάνειν καὶ τὰς ἄλλας τέχνας καὶ τὴν περὶ τοὺς λόγους φιλοσοφίαν», εἶπε δὲ **τὴν φιλοσοφίαν** ἁπλῶς, οἷον (12,9) «περὶ τὴν φιλοσοφίαν, ἣν προειλόμην, ἀτυχίαι τινὲς καὶ συκοφαντίαι γεγόνασι», ὅ ἐστι περὶ τὸ γένος τῆς ῥητορικῆς πραγματείας καὶ (15,50) «Περὶ μὲν οὖν τῆς ἐμῆς φιλοσοφίας ἀκηκόατε πᾶσαν τὴν ἀλήθειαν», καὶ (13,7) «Πρὸ πολλῶν μὲν ἂν χρημάτων ἐποιησάμην τηλικοῦτον δύνασθαι τὴν φιλοσοφίαν», κα (11,1), τήν τε ῥητορικὴν ἅμα καὶ σοφιστικὴν λέγων, «τοῖς ἐκ φιλοσοφίας χρηματίζεσθαι ζητοῦσιν», καὶ 15, 10) «περὶ δὲ φιλοσοφίας πεπαρρησιασμένα», καὶ (15,205), τὴν σοφιστικὴν τὴν ῥητορικὴν διδάσκουσαν λέγειν βουλόμενος, «τῇ τοίνυν φιλοσοφίᾳ φανήσεται καὶ τοῦτο συμβεβηκός», καὶ (15,81) «κατέλιπον ἡμῖν περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικήν, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν», καὶ (αὐτ. 183 καὶ 279) «οἱ περὶ τὴν φιλοσοφίαν ὄντες

τὰς ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος διεξέρχονται τοῖς μαθηταῖς» καὶ (αὐτ. 186) «ὁ μὲν τύπος τῆς φιλοσοφίας τοιοῦτός τίς ἐστιν», ὅ ἐστι τῆς διδασκαλίας τῆς ῥητορικῆς, καὶ (αὐτ. 175) «εἰ μὲν ἡ φιλοσοφία τοιαύτην ἔχει δύναμιν», καὶ (αὐτ. 176) «οἷός τ' ἂν ἐγενόμην τῇ φιλοσοφίᾳ βοηθῆσαι», καὶ (αὐτ. 270) «περὶ δὲ σοφίας καὶ φιλοσοφίας--ἐμοὶ--προσήκει τὴν δικαίως ἂν νομιζομένην ὁρίσαι», καὶ (Ἐπ. 6, 8) «τοὺς περὶ τὴν φιλοσοφίαν τὴν ἡμετέραν διατρίβοντας»· δηλοῖ δ' οὖσα ἡ τῆς ῥητορικῆς διδασκαλία· καὶ (13,21) «τοῖς ὑπὸ τῆς φιλοσοφίας ταύτης προσταττομένοις», καὶ (15,170) «τήν τε φιλοσοφίαν ἐκ πολλῶν ἐνόμιζον ἐπιδείξειν ἀδίκως διαβεβλημένην».

2. Ἔτυχε δέ που Ἰσοκράτους καὶ **ἐπιστήμη τῶν λόγων** ἡ ῥητορικὴ κληθεῖσα, οἷον (13,10) «φασὶν ὁμοίως τὴν τῶν λόγων ἐπιστήμην ὥσπερ τὴν τῶν γραμμάτων παραδώσειν».

3. Τὰ δὲ γεγραμμένα περὶ ῥητορικῆς διδάγματα ὥσπερ καὶ οἱ ἄλλοι **τέχνας** καὶ ὁ Ἰσοκράτης ἐκάλεσεν, εἰπών που (13,19) «οἱ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες». Καὶ τὸ ἔργον δὲ τούτων, τὴν πολιτικὴν ῥητορικὴν διδασκόντων, **τέχνην** ἰδίᾳ που εἶπε, (13,19) «ἡγοῦνται τοῦτ' εἶναι τὴν τέχνην, ἣν ὡς πλείστους --προσαγάγωνται», καὶ (αὐτ. 10) «μεγάλας ποιοῦσι τὰς τέχνας οὐχ οἱ τολμῶντες ἀλαζονεύεσθαι περὶ αὐτῶν».

4. Εἶπε δὲ Ἰσοκράτης καὶ **παίδευσιν** ἢ **παιδείαν** ἢ **μελέτην τῶν λόγων** ἢ **περὶ τοὺς λόγους** τὴν τῆς ῥητορικῆς διδασκαλίαν ἢ μάθησιν λέγων, οἷον (13,10) «καὶ τὴν παίδευσιν τὴν τῶν λόγων πλείονος ἀξίαν δόξειν εἶναι», καὶ (15,168) «δυσκόλως διακειμένους περὶ τὴν τῶν λόγων παιδείαν», καὶ (αὐτ. 180) «Βούλομαι δὲ περὶ τῆς τῶν λόγων παιδείας--διελθεῖν πρὸς ἡμᾶς», καὶ (αὐτ. 177) «πείσας τοιαύτην εἶναι νομίζειν τὴν τῶν λόγων μελέτην», καὶ (Ἐπ. 5, 4) «προαιρεῖσθαι δὲ τὴν παιδείαν τὴν περὶ τοὺς λόγους».

Ε΄. Οἱ περὶ τοὺς λόγους.

1. Τοὺς ῥήτορας ὡς τὸ ὅλον εἰπεῖν, οὐ τοὺς δημηγοροῦντας μόνον **τοὺς περὶ τοὺς λόγους** Ἰσοκράτει κεκλημένους εὑρίσκομεν,

τάδε που εἰπόντι· (9.9) «τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι·--τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων».

2. Ἐλέχθη δ' οὐχ ἅπαξ καὶ **φιλόσοφος** ὁ ῥήτωρ ἢ ὁ σοφιστής, οἷον (10,66) «τοὺς δὲ φιλοσόφους πειρᾶσθαί τι λέγειν περὶ αὐτῆς ἄξιον τῶν ὑπαρχόντων ἐκείνῃ (τῇ Ἑλένῃ)», καὶ (11, 48) «ἠβουλήθης τοῖς φιλοσόφοις παράδειγμα καταλιπεῖν ὡς χρή--ποιεῖσθαι τὰς ἀπολογίας».

3. Τὸ δὲ τῇ ῥητορικῇ παιδεύειν ἢ περὶ ταύτην διατρίβειν **φιλοσοφεῖν** Ἰσοκράτει τυγχάνει ὄν· εἶπε γάρ που (3, 1) «εἰσί τινες οἵ διαμέμφονται τοὺς φιλοσοφοῦντας καί φασιν αὐτοὺς πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς», καὶ ἄλλοθι (12,11) «ἐπειδὴ τοῦ πολιτεύεσθαι διήμαρτον, ἐπὶ τὸ φιλοσοφεῖν κατέφυγον», καὶ (13,14) «πολλοὶ τῶν φιλοσοφησάντων ἰδιῶται διετέλεσαν» καὶ (αὐτ. 18) «τούτων μὲν ἁπάντων συμπεσόντων τελείως ἕξουσιν οἱ φιλοσοφοῦντες».

4. Πολλάκις δ' ἂν Ἰσοκράτῃ διεξιὼν τῷ **οἱ περὶ τὴν φιλοσοφίαν** ἐντύχοις· ἔστι δ' ὡς τὸ πολὺ τῷ οἱ περὶ τὴν ῥητορικὴν ἢ τὴν τοιαύτην παίδευσιν ἴσα δυνάμενον, ἔστι δ' ὅτε καὶ τῷ οἱ περὶ παιδείαν ἁπλῶς· οἷον (9,8) «περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες», καὶ (15,30) «ἐκ δὲ τῶν ἄλλων λόγων ποιεῖ με τηλικοῦτον (ὁ κατήγορος), ὅσος οὐδεὶς πώποτε γέγονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν περὶ φιλοσοφίαν διατριψάντων», καὶ (αὐτ. 183) «Οἱ δὲ περὶ τὴν φιλοσοφίαν ὄντες τὰς ἰδέας ἁπάσας, αἷς ὁ λόγος τυγχάνει χρώμενος, διεξέρχονται τοῖς μαθηταῖς», καὶ (αὐτ. 279) «μηδεὶς ὑμῶν οἰέσθω τοὺς περὶ τὴν φιλοσοφίαν ὄντας μόνους ἀγνοεῖν τὴν τῆς εὐνοίας δύναμιν», καὶ (2,51) «περὶ μὲν τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες», ὅ ἐστιν οἱ παιδεύειν ἐπαγγελλόμενοι, καὶ (13,1) ὥστε δοκεῖν ἄμεινον βουλεύεσθαι τοὺς ῥᾳθυμεῖν αἱρουμένους τῶν περὶ τὴν φιλοσοφίαν διατριβόντων».

5. Τοὺς δὲ τὴν ῥητορικὴν πρός τε τὸ δικάζεσθαι καὶ τὸ δημηγορεῖν διδάσκοντας τῶν σοφιστῶν τι γένος εἶναι λέγων, ὁτὲ μὲν τὸ ἐπίπαν **σοφιστὰς** καλεῖ, οἷον (13,14) «ἄλλοι δέ τινες οὐδενὶ πώποτε συγγενόμενοι τῶν σοφιστῶν καὶ λέγειν καὶ πολιτεύεσθαι δεινοὶ γεγό-

νασι», καὶ (αὐτ. 19) «οἱ μὲν οὖν ἄρτι τῶν σοφιστῶν ἀναφυόμενοι - - ἐπὶ ταύτην κατενεχθήσονται τὴν ὑπόθεσιν», καὶ (15,155) «οὐδεὶς εὑρεθήσεται τῶν καλουμένων σοφιστῶν πολλὰ χρήματα συλλεξάμενος», καὶ (157) «μηδὲ τὰς ἐργασίας ἴσας νομίζειν τάς τε τοῦ σοφιστοῦ καὶ τοῦ ὑποκριτοῦ», καὶ (197) «λέγουσι γὰρ οἱ μὲν ὡς ἔστι ἡ περὶ τοὺς σοφιστὰς διατριβὴ φλυαρία καὶ φενακισμός», καὶ (203) «Τίς γὰρ οὐκ οἶδεν ὑμῶν πολλοὺς τῶν ὑπὸ τοῖς σοφισταῖς γενομένων - - ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας;». Ὁτὲ δὲ εἴδη αὐτοὺς νέμει, τούς τε μόνον πρὸς δικανικοὺς παιδεύοντας λόγους καὶ τοὺς πρὸς ἀμφότερα, δικανικούς τε καὶ δημηγορίας, πολιτικοὺς λόγους αὐτοὺς λέγων, περὶ ἃ μάλιστα καὶ αὐτοῦ ἡ διατριβὴ καὶ συνουσία· εἶπε γάρ που (13.9) «Οὐ μόνον δὲ τούτοις (τοῖς περὶ τὰς ἔριδας σοφισταῖς) ἀλλὰ καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι», καὶ (αὐτ. 19) «λοιποὶ δ' ἡμῖν εἰσιν οἱ τὰς καλουμένας τέχνας γράψαι τολμήσαντες - -, οἵτινες ὑπέσχοντο δικάζεσθαι διδάξειν», καὶ (251) «ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν (παίδευσιν) ὄντες καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας», καὶ (13,20) «ἐκεῖνοι (οἱ πρὸς τοὺς δικανικοὺς λόγους διδάσκοντες) ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες, ἀμελήσαντες τῶν ἄλλων προσόντων αὐτοῖς ἀγαθῶν πολυπραγμοσύνης καὶ πλεονεξίας ὑπέστησαν εἶναι διδάσκαλοι». (Ἰδὲ καὶ 215. 220. 237).

6. Τοὺς δὲ οἵους τε ὄντας ἐν πλήθει λέγειν πρὸς τοὺς ἱκανοὺς γράφειν λόγους παντοίους, καὶ οὐ δικανικοὺς μόνον, **ἀγωνιστὰς** ὁ Ἰσοκράτης εἶπε, **λόγων ποιητάς,** οὐ λογογράφους, ἐκείνους καλέσας, (14,45) «ἡ δὲ παίδευσις τοὺς καταδεεστέραν τὴν φύσιν ἔχοντας ἀγωνιστὰς μὲν ἀγαθοὺς ἢ λόγων ποιητὰς οὐκ ἂν ἀποτελέσειε», καὶ (15,201) «δύο μὲν ἢ τρεῖς ἐξ ἁπάντων τῶν διδασκαλείων ἀγωνιστὰς γιγνομένους», καὶ (204) «ἱκανοὺς ἀγωνιστὰς ἀποτελεσθέντας», καὶ (15,192) «λόγων μὲν ποιητὴς τυχὸν ἂν χαριέστερος γένοιτο τῶν πολλῶν, εἰς ὄχλον δὲ καταστάς, τούτου μόνου ἀποστερηθείς, τοῦ τολμᾶν, οὐδ' ἂν φθέγξασθαι δυνηθείη».

7. Τοὺς δὲ δικανικοὺς ῥήτορας εἴτε συνηγοροῦντας εἴτε καὶ λογογραφοῦντας πανταχοῦ σχεδὸν ἀτιμάζει λέγων πρὸς τὴν οἰκείαν δια-

τριβὴν καὶ πραγματείαν· εἶπε γὰρ αὐτοὺς **τοὺς περὶ τὰ δικαστήρια καλινδουμένους** ἢ **τοὺς τὰς δίκας εὖ λέγοντας** ἢ **τοὺς περὶ τὰς δίκας** ἢ **περὶ τοὺς ἀγῶνας δεινούς**, ἢ **τοὺς ἀπὸ τῶν συμβολαίων ζῶντας** ἢ **τοὺς παρασκευάζοντας τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομένοις** ἢ **τοὺς περὶ τὰς δίκας** ἢ **τοὺς περὶ τὴν γραφὴν τὴν τῶν λόγων** ἢ **τοὺς δικανικοὺς δοκοῦντας εἶναι** καὶ ἄλλ' ἄττα τοιαῦτα· οἷον (15,30) «ὅσος οὐδεὶς πώποτε γέγονεν οὔτε τῶν περὶ τὰ δικαστήρια καλινδουμένων οὔτε τῶν περὶ τὴν φιλοσοφίαν διατριψάντων», καὶ (15,47) «νομίζοντες τοὺς ἐν τοῖς τοιούτοις πρωτεύοντας -- μᾶλλον ὠφελεῖν δυναμένους εἶναι τῶν τὰς δίκας εὖ λεγόντων», καὶ (αὐτ. 49) «πρὸς δὲ τούτοις τοὺς μὲν περὶ τὰς δίκας δεινοὺς (συνίσασι) πόρρω τῶν λόγων ἐκείνων ὄντας», καὶ (12,1) «οὓς (λόγους) οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾶν», καὶ (αὐτ. 38) «τοὺς μὲν ἀπὸ τῶν συμβολαίων τῶν ὑμετέρων ζῶντας ἴδοιτ' ἂν μόνον οὐκ ἐν τοῖς δικαστηρίοις οἰκοῦντας», καὶ (αὐτ. 41) «παμπληθεῖς εἰσιν οἱ παρασκευάζοντες τοὺς λόγους τοῖς ἐν τοῖς δικαστηρίοις ἀγωνιζομένοις», καὶ (αὐτ. 42) «ἔχων πολλὰς εἰπεῖν διαφορὰς περὶ τοῦ βίου τοῦ τ' ἐμοῦ καὶ τῶν περὶ τὰς δίκας», καὶ (12,29) «τὴν αὐτὴν γνώμην ἔχω καὶ περὶ τῶν δημηγορεῖν δυναμένων καὶ τῶν περὶ τὴν γραφὴν τὴν τῶν λόγων εὐδοκιμούντων» καὶ (15,48) «καὶ τοὺς μὲν δικανικοὺς δοκοῦντας εἶναι (συνίσασι) ταύτην τὴν ἡμέραν μόνην ἀνεκτοὺς ὄντας, ἐν ᾗπερ ἂν ἀγωνιζόμενοι τυγχάνωσι».

ϛ'. Εἴδη ῥητορικῶν λόγων.

α) Πολιτικοὶ λόγοι.

1. Τὸ μὲν ὅλον τῶν ῥητορικῶν λόγων γένος λόγους ἁπλῶς Ἰσοκράτης φιλεῖ λέγειν (Ὅρα Γ'). Διακρίνειν δὲ βουλόμενος τοὺς ἰδίους ἑαυτοῦ τοῦ ἄλλου καταλογάδην λόγου εἶπέ που ἐν Ἀντιδόσει (46) «ἧς δ' οὖν (ἰδέας λόγων) ἐμοὶ προσήκει, ταύτης μνησθεὶς ἐάσω τὰς ἄλλας. Εἰσὶ γάρ τινες, οἳ τῶν μὲν προειρημένων οὐκ ἀπείρως ἔχουσι, γράφειν δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ὑμετέρων συμβολαίων.

ἀλλ' Ἑλληνικοὺς καὶ **πολιτικοὺς** [καὶ πανηγυρικούς], οὓς ἅπαντες ἂν φήσειαν ὁμοιοτέρους εἶναι τοῖς μετὰ μουσικῆς καὶ ῥυθμῶν πεποιημένοις ἢ τοῖς ἐν δικαστηρίῳ λεγομένοις». Ὅ,τι μὲν οὖν οἱ ἐνταῦθα λεγόμενοι πολιτικοὶ λόγοι βούλονται λέγειν αὐτὸς ἡμῖν ὁ Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ εἶπε λέγων (2) «περὶ ἐκείνους (τῶν λόγων) ἐπραγματευόμην τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας», καὶ (αὐτ. 11) «τὴν προαίρεσιν ποιούμενος--περὶ τῶν Ἑλληνικῶν καὶ βασιλικῶν καὶ πολιτικῶν πραγμάτων»· τοῦτο δ' ἔστιν οἱ περὶ τῶν πολιτικῶν πραγμάτων λόγοι.

6) Πολιτικοὶ λόγοι.

2. Ἀλλαχοῦ δ' ἄλλ' ἄττα τῷ ὀνόματι τούτῳ, τοῖς πολιτικοῖς λόγοις οὐχ ἅπαξ ὀνομάζων εὑρίσκεται· φαίνεται γὰρ λέγων τοὺς ἐν πολίταις καὶ τῷ πλήθει οὐ μόνον περὶ πολιτικῶν ἀλλὰ καὶ περὶ δικανικῶν πραγμάτων λεγομένους, οἷον ἐν τῇ Ἀντιδόσει (258) «τῶν περὶ τὰς ἔριδας σπουδαζόντων ἔνιοι βλασφημοῦσι περὶ τῶν λόγων τῶν κοινῶν·--(260) περὶ τοὺς πολιτικοὺς λόγους ἡμεῖς ὄντες, οὓς ἐκεῖνοί φασι εἶναι φιλαπεχθήμονας, πολὺ πρᾳότεροι αὐτῶν τυγχάνομεν ὄντες» καὶ ἐν τῷ κατὰ Σοφιστῶν (20) «ἐκεῖνοι δὲ (οἱ δικάζεσθαι διδάξειν ὑπισχνούμενοι 19) ἐπὶ τοὺς πολιτικοὺς λόγους παρακαλοῦντες--πλεονεξίας ὑπέστησαν εἶναι διδάσκαλοι», καὶ (αὐτ. 9) «Οὐ μόνον δὲ τούτοις (τοῖς τὴν ἀρετὴν διδάξειν ὑπισχνουμένοις (σοφισταῖς)), ἀλλὰ καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένοις ἄξιον ἐπιτιμῆσαι», ὅ ἐστι τοῖς τὴν ῥητορικὴν διδάσκουσι, καὶ (αὐτ. 21) «Οὐ μὴν ἀλλὰ συμπαρακελεύσασθαί γε καὶ συνασκῆσαι ἂν (εἰς σωφροσύνην καὶ δικαιοσύνην) οἶμαι τὴν τῶν λόγων τῶν πολιτικῶν ἐπιμέλειαν», καὶ ἐν τῷ πρὸς Νικοκλέα (51) «καί φασιν οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας», ἔνθα οἱ διὰ τῶν πολιτικῶν λόγων τοῦτ' ἔσεσθαι φάσκοντες οἱ τῆς ῥητορικῆς εἰσι διδάσκαλοι. Πολλλκις δ' ἐν τοῖς παραδείγμασι τούτοις οἱ πολιτικοὶ λόγοι ἐναντίοι τοῖς ἐριστικοῖς ἐφάνησαν λεγόμενοι.

Ῥητορεία.

3. Τῶν περὶ τοὺς λόγους τοὺς ῥητορικοὺς ὀνομάτων ἐστὶ καὶ ἡ ῥητορεία. Βούλεται δὲ λέγειν τὸν ἔντεχνον ἐν τῷ πλήθει λόγον λεγόμενον· δηλοῖ δ' αὐτὸς εἰπὼν ἐν μὲν Φιλίππῳ (26) «ἐπειδὰν γὰρ ὁ λόγος ἀποστερηθῇ τῆς τε δόξης τῆς τοῦ λέγοντος καὶ τῆς φωνῆς καὶ τῶν μεταβολῶν τῶν ἐν ταῖς ῥητορείαις γιγνομένων --, εἰκότως, οἶμαι, φαῦλος εἶναι δοκεῖ τοῖς ἀκούουσιν», ἐν δὲ τῷ Παναθηναϊκῷ (2) «περὶ ἐκείνους (τῶν λόγων) ἐπραγματευόμην --, τοὺς πολλῶν μὲν ἐνθυμημάτων γέμοντας, οὐκ ὀλίγων δ' ἀντιθέσεων καὶ παρισώσεων καὶ τῶν ἄλλων ἰδεῶν τῶν ἐν ταῖς ῥητορείαις διαλαμπουσῶν», ἐν δὲ τῷ κατὰ Σοφιστῶν (21) «Καίτοι τοὺς βουλομένους πειθαρχεῖν τοῖς ὑπὸ τῆς φιλοσοφίας ταύτης (τῆς ῥητορικῆς παιδεύσεως) προσταττομένοις πολὺ ἂν θᾶττον πρὸς ἐπιείκειαν ἢ πρὸς ῥητορείαν ὠφελήσειαν».

Οἷον ῥητορεῖαι δὲ λόγοι αὐτοῦ εἰσιν ὅ τε περὶ Εἰρήνης καὶ ὁ Ἀρεοπαγιτικὸς καὶ ὁ Ἀρχίδαμος συμβουλευτικοὶ ὄντες καὶ ὁ Πλαταϊκὸς βοηθείας δέησις.

Οἱ πρὸς τὰς ἐπιδείξεις λόγοι.

4. Τὸ ὄνομα λόγον ἐπιδεικτικὸν οὐκ ἂν λάβοις θηρῶν παρ' Ἰσοκράτει· τοὺς δὲ λόγους τοὺς τοιούτους τοὺς πρὸς ἐπίδειξιν ἢ ἐπιδείξεις πανταχοῦ χαίρει λέγων. Ἦσαν δ' ὡς τὸ πολὺ ἐγκώμια ἢ ἀπολογίαι ἢ κατηγορίαι ἢ μυθώδεις καὶ τερατείας μεστοὶ λόγοι (12,1), ἔστι δ' ὅτε συμβουλευτικοὶ δοκοῦντες εἶναι ἐναντίοι ὄντες τοῖς τε ὡς ἀληθῶς συμβουλευτικοῖς ἢ παραινετικοῖς καὶ τοῖς δικανικοῖς, τῶν σοφιστῶν δὲ μάλιστα ἐπιτηδεύματα καὶ ἔργα γραφόμενα ἢ ἐπιστελλόμενα ἢ ἐν συλλόγοις ἀνδρῶν καὶ πανηγύρεσι λεγόμενα, ὧν καὶ οἱ πανηγυρικοὶ ἐπονομασθέντες λόγοι. Εἶπε δὲ περὶ τούτων πολλαχοῦ τῶν λόγων, οἷον (15,1) «Εἰ μὲν ὅμοιος ἦν ὁ λόγος ὁ μέλλων ἀναγνωσθήσεσθαι τοῖς ἢ πρὸς τοὺς ἀγῶνας ἢ πρὸς τὰς ἐπιδείξεις γιγνομένοις, οὐδὲν ἄν, οἶμαι, ἔδει προδιαλεχθῆναι περὶ αὐτοῦ», καὶ (4,11) «ὥσπερ ὁμοίως δέον ἀμφοτέρους ἔχειν (τοὺς δικανικοὺς καὶ τούς πανηγυρικούς), ἀλλ' οὐ τοὺς μὲν ἀσφαλῶς, τοὺς

δ' ἐπιδεικτικῶς», καὶ (4,17) «τὸν μὴ μόνον ἐπίδειξιν ποιούμενον ἀλλὰ καὶ διαπράξασθαί τι βουλόμενον», καὶ (5,17) «μέλλω σοι τὸν λόγον πέμπειν οὐκ ἐπίδειξιν ποιησόμενον--ἀλλὰ πειρασόμενόν σε προτρέπειν ἐπὶ πράξεις οἰκειοτέρας καὶ καλλίους» καὶ (5,25) «ἅπαντες ὑπειλήφασι τοὺς μὲν (τῶν λόγων τοὺς εἰς τὸ πείθειν λεγομένους) περὶ σπουδαίων πραγμάτων--ῥητορεύεσθαι, τοὺς δὲ πρὸς ἐπίδειξιν--γεγράφθαι», καὶ (5,27) «ἅπερ καὶ τὸ νῦν ἐπιδεικνύμενον (λόγον) μάλιστ' ἂν βλάψειε καὶ φαυλότερον φαίνεσθαι ποιήσειε», καὶ (10,9) τινές--τολμῶσι γράφειν ὡς ἔστιν ὁ τῶν πτωχευόντων καὶ φευγόντων βίος ζηλωτότερος ἢ ὁ τῶν ἄλλων ἀνθρώπων.-- Ἐμοὶ δὲ δοκεῖ πάντων εἶναι καταγελαστότατον τὸ διὰ τούτων τῶν λόγων ζητεῖν πείθειν ὡς περὶ τῶν πολιτικῶν ἐπιστήμην ἔχουσιν, ἐξὸν ἐν αὐτοῖς, οἷς ἐπαγγέλλονται, τὴν ἐπίδειξιν ποιεῖσθαι», καὶ (5,93) «εἰ μὲν ἐπίδειξιν ἐποιούμην, ἐπειρώμην ἂν ἅπαντα τὰ τοιαῦτα διαφεύγειν», καὶ (11,4) «Αἰσθανόμενος οὖν οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπί τε τῇ Βουσίριδος ἀπολογίᾳ καὶ τῇ Σωκράτους κατηγορίᾳ πειράσομαί σοι ποιῆσαι καταφανές, ὅτι πολὺ τοῦ δέοντος ἐν ἀμφοτέροις τοῖς λόγοις διήμαρτες», καὶ (11,44) «οὐ γὰρ ἐπίδειξιν τοῖς ἄλλοις ποιούμενος--διαλέγομαι περὶ αὐτῶν», καὶ (12,1) «Νεώτερος ὢν προῃρούμην γράφειν τῶν λόγων οὐ τοὺς μυθώδεις οὐδὲ τοὺς τερατείας καὶ ψευδολογίας μεστούς, οἷς οἱ πολλοὶ μᾶλλον χαίρουσιν ἢ τοῖς περὶ τῆς αὑτῶν σωτηρίας λεγομένοις», καὶ (12,11) «ἐπὶ τὸ--γράφειν ἃ διανοηθείην κατέφυγον, οὐ περὶ μικρῶν τὴν προαίρεσιν ποιούμενος-- οὐδὲ περὶ ὧν ἄλλοι τινὲς ληροῦσιν», καὶ (Ἐπιστ. 1,7) «οὐ γὰρ ἐγὼ τυγχάνω φιλοτίμως διακείμενος πρὸς τὰς ἐπιδείξεις», καὶ (Ἐπ. 6,5) «μηδὲν ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολὴν--ἐπίδειξιν ποιούμενος», καὶ (12,233) «τετυχηκὼς ὧνπερ οἱ κατορθοῦντες ἐν ταῖς ἐπιδείξεσιν», καὶ (12,271) «σπουδαιοτέρους καὶ φιλοσοφικωτέρους εἶναι νομίζοντας τοὺς διδασκαλικοὺς (λόγους) τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων», καὶ (15,55) «Εἰ μὲν γὰρ ἐπίδειξιν ποιούμενος ἔλεγον αὐτούς, εἰκότως ἂν εἶχον τὴν αἰτίαν τούτων», καὶ (15,147) «Ὁρῶσι γὰρ ἐκείνων μὲν (τῶν περὶ τὴν φιλοσοφίαν ὄντων, ὅ ἐστι τῶν σοφιστῶν) τοὺς πλείστους--ἔν τε ταῖς πανηγύρεσι καὶ τοῖς ἰδίοις συλλόγοις ἐπιδείξεις ποιουμέ-

μους», καὶ (Ἐπ. 1.6) «τοῖς μὲν ἐπιδείξεως δεομένοις αἱ πανηγύρεις ἁρμόττουσιν», καὶ (Ἐπ. 5,4) «μηδὲν ὑπολάβητε τοιοῦτον, ὡς ἄρ' ἐγὼ ταύτην ἔγραψα τὴν ἐπιστολήν -- ἐπίδειξιν ποιήσασθαι βουλόμενος», καὶ (5,5) «εἴπερ ἐπιδείξει προσεῖχον τὸν νοῦν --, οὐκ ἂν ταύτην προειλόμην τὴν ὑπόθεσιν».

Οἱ συμβουλεύοντες λόγοι.

5. Τοὺς συμβουλευτικοὺς λόγους συμβουλεύοντας καλεῖ ὁ Ἰσοκράτης. Εὑρίσκεται γὰρ γράψας ἐν μὲν τῷ Παναθηναϊκῷ (2) «πάντας τούτους (τοὺς λόγους) ἐάσας περὶ ἐκείνους ἐπραγματευόμην τοὺς περὶ τῶν συμφερόντων τῇ τε πόλει καὶ τοῖς ἄλλοις Ἕλλησι συμβουλεύοντας», καὶ (13) «ἐμὲ δὲ τῶν λόγων ἡγεμόνα τούτων γεγενημένον -- τῶν συμβουλευόντων ἀποικίαν ἐκπέμπειν», ἐν δὲ τῷ περὶ Ἀντιδόσεως (62) «χρησιμωτέρους εἶναι τῶν λόγων τοὺς ὑπὲρ ὧν δεῖ πράττειν συμβουλεύοντας», καὶ (67) «ἔστι δ' ὁ μέλλων δειχθήσεσθαι λόγος Νικοκλεῖ τῷ Κυπρίῳ -- συμβουλεύων», καὶ (77) «τίς (λόγος γένοιτ') ἂν περὶ καλλιόνων καὶ μειζόνων πραγμάτων τοῦ περὶ τῆς ὁμονοίας συμβουλεύοντος ;», ἐν δὲ τῷ πρὸς Νικοκλέα (42) «τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων καὶ τῶν συγγραμμάτων χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν, οὐ μὴν ἥδιστά γ' αὐτῶν ἀκούουσιν», ἐν δὲ τῷ Φιλίππῳ (18) «Φιλίππῳ συμβουλεύσοντα λόγον μέλλεις πέμπειν».

Λάβοις δ' ἂν θηρῶν ἐπὶ τοιούτων τὸ συμβουλεύειν πολλάκις αὐτοῦ ἐν τοῖς λόγοις εἰρημένον, οἷον (4,3) «ἥκω συμβουλεύσων περί τε τοῦ πολέμου τοῦ πρὸς τοὺς βαρβάρους καὶ τῆς ὁμονοίας τῆς πρὸς ἡμᾶς αὐτούς», καὶ (4,10) «ἐχρῆν -- μὴ πρότερον περὶ τῶν ὁμολογουμένων συμβουλεύειν», καὶ (5,9) «ἅπερ ἐν τῷ Πανηγυρικῷ λόγῳ τυγχάνω συμβεβουλευκώς», καὶ (5,16) «Μέλλω γάρ σοι συμβουλεύειν προστῆναι τῆς τε τῶν Ἑλλήνων ὁμονοίας καὶ τῆς ἐπὶ τοὺς βαρβάρους στρατείας», καὶ (5,82) «ἐπιχειρῶ συμβουλεύειν τὸν τρόπον τοῦτον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι», καὶ (5, 105) «βελτίω τούτων οὐδεὶς ἂν συμβουλεύσειεν», καὶ (6,1) «περὶ τούτων νεώτερος ὢν παρελήλυθα συμβουλεύσων», καὶ (6,3) «μὴ προσήκειν τούτους μάλιστα συμβουλεύειν», καὶ (7,77) «παραχωρῶ

τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων», καὶ (8,1) «περὶ ὧν μέλλουσι συμβουλεύειν», καὶ (8,5) «τοῖς περὶ τῆς εἰρήνης συμβουλεύουσιν», καὶ (8,8) «οὐ τῶν τυχόντων συμβεβουλευκότων», καὶ πόλλ' ἄλλα ἀλλαχοῦ τοιαῦτα (8,28.62.12,2.14.262. Ἐπ. 1,1.2.12.6,6.7,10.9,6).

Καὶ τῶν λόγων δ' αὐτοῦ πολλοί, ἐφ' οἷς μάλιστα μέγα φρονεῖ τε καὶ αὐχεῖ, συμβουλεύοντές εἰσιν, οἷος ὅ τε Πανηγυρικός, καὶ ἐγκώμιον ἅμα ὤν, καὶ ὁ Φίλιππος καὶ ὁ Ἀρχίδαμος καὶ ὁ Ἀρεοπαγιτικὸς καὶ ὁ περὶ Εἰρήνης καὶ αἱ πλεῖσται τῶν ἐπιστολῶν.

Γένος δέ τι τῶν λόγων τῶν τοιούτων καὶ **παραινοῦντας** φιλεῖ λέγειν, τοὺς πρὸς ἄνδρας ἂν λεγομένους, οἷς ἄν τίς τι παρακελεύηται ποιεῖν ἤ τινος ἀποτρέπειν σπουδάζῃ, οἷος ὁ πρὸς Νικοκλέα λόγος καὶ τοῦ Νικοκλέους ἡ πρὸς Κυπρίους τελευταία μοῖρα· ἔτυχε γάρ που εἰπὼν (3,10) «Καλλίστους (λόγους) ἡγοῦμαι -- τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ πολιτειῶν παραινοῦντας, καὶ τούτων αὐτῶν ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας, ὡς χρὴ πρὸς τοὺς ἄρχοντας διακεῖσθαι». Κατὰ δὴ ταῦτα καὶ τῶν συμβουλευόντων ὁ Ἀρεοπαγιτικὸς παραινῶν ἂν εἴη, τοιαῦτ' ἄττα πρὸς Ἀθηναίους λέγων τε καὶ συμβουλεύων. Ὅμοια δὲ καὶ παραπλήσια τῷ παραινεῖν κεχρημένος φαίνεται, οἷόνπερ ἐν τῷ πρὸς Νικοκλέα (54) «Ἐγὼ μέν οὖν ἃ γιγνώσκω παρήνεκα», καὶ ἐν τῷ Φιλίππῳ (105) «φοβοῦμαι μή τινες ἐπιτιμήσωσιν ἡμῖν, εἰ τολμῴην σοι παραινεῖν, τῷ πλεῖστα καὶ μέγιστα πεπραγμένῳ κατὰ πόλεμον», καὶ ἐν τῷ περὶ Εἰρήνης (145) «τοῖς νεωτέροις -- παραινῶ καὶ παρακελεύομαι τοιαῦτα καὶ λέγειν καὶ γράφειν», καὶ ἐν τῷ Παναθηναϊκῷ (1) «οὓς (λόγους) οἱ δεινοὶ περὶ τοὺς ἀγῶνας παραινοῦσι τοῖς νεωτέροις μελετᾶν», καὶ ἀλλαχοῦ (12,264. Ἐπ 9,6).

Ἐγκώμιον ἢ ἔπαινος, κατηγορία ἀπολογία,
νουθέτησις ἢ ἐπίπληξις ἢ ἐπιτίμησις.

6. Ὃ μὲν εἶδος λόγου ἐστὶν **ἐγκώμιον** ἢ **ἔπαινος** αὐτῷ Ἰσοκράτει ὁρίσασθαι ἐμέλησεν εἰπόντι που (11,5) «δεῖ τοὺς μὲν εὐλογεῖν τινας βουλομένους πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς προσόντ' ἀποφαίνειν», καὶ (48). «Οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν,

ὥσθ'οἷόν τ'εἶναι--τοῖς μικροῖς μέγεθος περιθεῖναι», καὶ (16, 15) «ἐπαινεῖν (προσήκει) τοὺς ἐπ'ἀγαθῷ διαφέροντας», καὶ (12,85) «δεινόν--, ἣν περὶ ἀνδρὸς τοιούτου διαλεγόμενος παραλίπω τι τῶν ἐκείνῳ προσόντων ἀγαθῶν», καὶ (12,123) «δεῖ δὲ τοὺς ἐπιχειροῦντας καθ' ὑπερβολήν τινας ἐπαινεῖν ἐπιδεικνύναι ὡς ἁπάσαις ταῖς ἀρεταῖς διήνεγκαν». Τοιαῦτα δ' ἐν νῷ ἔχων ἢ βουλόμενος οὐχ ἅπαξ τό τε ἐγκώμιον καὶ τὸν ἔπαινον ἢ τὸ ἐγκωμιάζειν τε καὶ ἐπαινεῖν ἔτυχε γράψας, οἷον (3,7) «τούτῳ (τῷ λόγῳ) -- τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν», καὶ (4,51) «ἵνα δὲ μὴ δοκῶ--ἐκ τούτων ἐγκωμιάζειν τὴν πόλιν, ἀπορῶν τὰ πρὸς τὸν πόλεμον αὐτὴν ἐπαινεῖν», καὶ (4,82) «Ὁμοίως χαλεπὸν ἐπαινεῖν τοὺς ὑπερβεβληκότας τὰς τῶν ἄλλων ἀρετάς, ὥσπερ τοὺς μηδὲν ἀγαθὸν πεποιηκότας», καὶ (4,186) «Ποίων τινῶν χρὴ προσδοκᾶν ἐγκωμίων τεύξεσθαι τοὺς ὅλης τῆς Ἀσίας κρατήσαντας, καὶ (5,17) «μέλλω σοι λογον πέμπειν οὐκ ἐγκωμιασόμενον τοὺς πολέμους τοὺς διὰ σοῦ γεγενημένους», καὶ (5, 153) «Νομίζω δὲ χρῆναί σε--μάλιστα νομίζειν ἐκείνους ἐγκωμιάζειν, τοὺς μειζόνων ἔργων ἢ τηλικούτων τὴν σὴν φύσιν ἀξιοῦντας», καὶ (7,36) «τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δ' αἰτίας οὐ φράζω», καὶ (9, 5) «ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους», καὶ (9,6) «ὅταν--αὐτὸν προειδῇ--μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον», καὶ (9,8) «Χαλεπόν ἐστιν ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν», καὶ (10,12) «Τῶν μὲν γὰρ τοὺς βομβολιοὺς καὶ τοὺς ἅλας καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησε», καὶ (10,14) «φησὶ γὰρ ἐγκώμιον γεγραφέναι περὶ αὐτῆς τῆς Ἑλένης», καὶ (10,69) «οὐκ ἀπορήσουσιν ἀφορμῆς, ὅθεν Ἑλένην ἔξω τῶν εἰρημένων ἕξουσιν ἐπαινεῖν», καὶ (11,5) «ὥσπερ ἐγκωμιάσαι (Σωκράτην βουλόμενος Ἀλκιβιάδην ἔδωκας αὐτῷ μαθητήν». Τοιαῦτα δ' ἔτ' ἰχνεύων πόλλ' ἂν εὕροις (10,6.6.44.12,35.36.37.38.39.79.81.86.135.184.184.200.236.237.239.240.253.261.15,8.).

Τῶν λόγων δ' αὐτοῦ ἐγκώμια ἢ ἔπαινοι δοκοῦσιν εἶναι τοῦ τε Νικοκλέους τὸ πρῶτον, τήν τε πολιτείαν καὶ αὐτὸν ἐπαινοῦν, καὶ ὁ Πανηγυρικὸς συμβουλευτικὸς μὲν ὤν, ἀλλὰ καὶ ἐγκώμιον Ἀθηναίων πρὸς Λακεδαιμονίους ἐπιτιμωμένους παραβαλλομένων, καὶ τὸ

ὑπὲρ τῆς παλαιᾶς Ἀθηναίων πολιτείας μέρος τοῦ Ἀρεοπαγιτικοῦ καὶ ὁ Εὐαγόρας, καὶ παραίνεσιν ἐπὶ τῇ τελευτῇ πρὸς Νικοκλέα, ἔχων, καὶ ἡ Ἑλένη, ἧς τὰ πρῶτα κατηγορία τῶν ἀντιτέχνων οὖσα σοφιστῶν τυγχάνει, καὶ ἄλλου του ἐγκώμιον Ἑλένης γεγραφότος, καὶ ὁ Βούσιρις, καὶ ἀπολογία ἅμα ὤν, καὶ ὁ Παναθηναϊκὸς ἐπαινῶν τοὺς Ἀθηναίους παρὰ τοὺς Λακεδαιμονίους κατηγορουμένους, προειρημένης καὶ ἀπολογίας πρὸς τοὺς φθονοῦντας αὐτῷ τῶν πολλῶν καὶ τοὺς διαβάλλοντας τῶν σοφιστῶν.

Κατηγορία δ' ὡς τὸ ὅλον εἰπεῖν, καὶ οὐχ ἡ ἐν δικαστηρίοις μόνον, παρ' Ἰσοκράτει δοκεῖ εἶναι λόγος ἐπὶ βλάβῃ λοιδοροῦντος καὶ ἐλάττω μέν τινι τῶν ὑπαρχόντων ἀγαθῶν προσόντ' ἀποφαίνοντος, πλείω δὲ κακὰ καὶ μείζω τῶν ὄντων· ἔτυχε γὰρ γεγραφὼς ἐν μὲν τῷ Πανηγυρικῷ (130) «χρὴ δὲ κατηγορεῖν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ λοιδοροῦντας», καὶ (8) «Οἱ λόγοι τοιαύτην ἔχουσι τὴν φύσιν ὥσθ' οἷόν τ' εἶναι--τά τε μεγάλα (ἀγαθὰ ἢ κακὰ) ταπεινὰ ποιῆσαι καὶ τοῖς μικροῖς (ἀγαθοῖς ἢ κακοῖς) μέγεθος περιθεῖναι», ἐν δὲ τῷ Βουσίριδι (4) «δεῖ τοὺς μὲν εὐλογεῖν τινας βουλομένους πλείω τῶν ὑπαρχόντων ἀγαθῶν αὐτοῖς ἀποφαίνειν, τοὺς δὲ κατηγοροῦντας τἀναντία τούτοις ποιεῖν». Πολλαχοῦ δ' ηὕρηται ὁμοίως κεχρημένος τῇ τε κατηγορίᾳ τῷ ὀνόματι καὶ τῷ κατηγορεῖν· εἶπε δ' ἔστιν ὅπου τοιοῦτον καὶ τὸν ψόγον καὶ τὸ ψέγειν, οἷον (15,147) «ἐκ τούτων πολλαὶ κατηγορίαι κατὰ ταύτης (τῆς πόλεως) γεγόνασιν», καὶ (7,76) «εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων--κατηγορία τῶν τὰς εὐγενείας ταῖς αὐτῶν ῥαθυμίαις καὶ κακίαις καταισχυνόντων», καὶ (11,4) «αἰσθόμενος οὐχ ἥκιστά σε μεγαλαυχούμενον ἐπὶ τῇ Σωκράτους κατηγορίᾳ», καὶ (11,5) «Σωκράτους κατηγορεῖν ἐπεχείρησας», καὶ (11,6) «ὁ μὲν ἂν σοι τοσαύτην ἔχοι χάριν ὑπὲρ τῆς κατηγορίας, ὅσην οὐδενὶ τῶν ἐπαινεῖν εἰθισμένων», καὶ (12,54) «ὧν (τῶν δεκάρχων) ἐπιχειρήσας ἄν τις κατηγορεῖν τρεῖς ἢ τέτταρας ἡμέρας συνεχῶς οὐδὲν ἂν μέρος εἰρηκέναι δόξειε τῶν ἐκείνους ἡμαρτημένων», καὶ (12,239) «μὴ δόξῃς--τούτους νῦν ψέγειν, οὓς πρότερον ἐπῄνεις», καὶ (240) «λόγους ἀμφιβόλους καὶ μηδὲν μᾶλλον μετὰ τῶν ἐπαινούντων ἢ ψεγόντων ὄντας» ὅθεν ἄν τι ἴδοι καὶ ἀμφιβόλους τινὰς λόγους Ἰσοκράτει ὄντας· καὶ (250) «ὡς κατηγορίαν γεγραφότα κατ' αὐτῶν», καὶ (13,14) «εἰ δὲ δεῖ μὴ μό-

νον κατηγορεῖν τῶν ἄλλων». Ἔστι δὲ καὶ ἄλλα τοιαῦτ' αὐτῷ εἰρημένα (15,18. 22.32 κ. ἀ.)

Τῶν δὲ λόγων αὐτοῦ τῶν οὐ δικανικῶν κατηγορία ἔοικεν εἶναι ὅ τε κατὰ Σοφιστῶν καὶ ἐπίδειξιν ἔχων τῆς περὶ παιδεύσεως αὐτοῦ διανοίας καὶ ὁ Βούσιρις νουθέτησις εἶναι δοκῶν Πολυκράτους καὶ ἐπίδειξιν ἅμα ἔχων ἀπολογίας Βουσίριδος καὶ τὸ κατὰ Λακεδαιμονίων μὲν μέρος τοῦ τε Πανηγυρικοῦ καὶ τοῦ Παναθηναϊκοῦ, τὸ κατὰ σοφιστῶν δὲ τῆς Ἑλένης.

Ἀπολογία μέν ἐστι λόγος κατηγοριῶν ἀπολύων· διακρίνων δὲ ταύτην τῶν ἐπαίνων ὁμογενῶν ὄντων λόγων ἐν τῇ Ἑλένῃ ποῦ εἶπεν (15) «Ἀπολογεῖσθαι μὲν προσήκει περὶ τῶν ἀδικεῖν αἰτίαν ἐχόντων, ἐπαινεῖν δὲ τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας». Τὴν δ' ἀπολογίαν καὶ τὸ ἀπολογεῖσθαι οὐχ ἅπαξ τοιαῦτα γεγραφὼς εὑρίσκεται, οἷον (10,15) «φησὶ μὲν ἐγκώμιον γεγραφέναι --, τυγχάνει δ' ἀπολογίαν εἰρηκώς», καὶ (11,4) «μεγαλαυχούμενον ἐπὶ τῇ Βουσίριδος ἀπολογίᾳ», καὶ (11,5) «ὑπὲρ Βουσίριδος ἀπολογήσασθαι φάσκων -- τηλικαύτην αὐτῷ παρανομίαν προσῆψας», καὶ (11,9) «ὑπόθεσιν, καίπερ οὐ σπουδαίαν οὐδὲ σεμνοὺς λόγους ἔχουσαν, ἐξ ὧν ἔδει καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν ποιήσασθαι», καὶ (11,44) «Πολλῶν δ' ἐνόντων εἰπεῖν, ἐξ ὧν ἄν τις καὶ τὸν ἔπαινον καὶ τὴν ἀπολογίαν μηκύνειεν», καὶ (αὐτ.) «τόν γε λόγον -- οὐκ ἀπολογίαν ὑπὲρ Βουσίριδος, ἀλλ' ὁμολογίαν τῶν ἐπικαλουμένων δικαίως ἄν τις εἶναι νομίσειεν», καὶ (11,46) «αἰσχρὸν τοιαύτας ὑπὲρ τῶν ἄλλων ποιεῖσθαι τὰς ἀπολογίας». Εὕροιμεν δ' ἂν καὶ ἄλλα τοιαῦτα (11,48.48.15,8.32.179 κ. ἀ.).

Ἀπολογίαν δὲ τυγχάνει γεγραφὼς τόν τε Βούσιριν ἐπίδειξιν ποιούμενος, καὶ ἔπαινον ἅμα ὄντα καὶ νουθέτησιν ἔτι ἢ μᾶλλον κατηγορίαν Πολυκράτους, καὶ τὴν Ἀντίδοσιν, λόγον ἀπολογίας σχῆμα ἔχοντα (8), ἐν ᾧ ἐπιχειρεῖ δηλοῦν (6) καὶ τὸν τρόπον, ὃν ἔχει, καὶ τὸν βίον, ὃν ζῇ, καὶ τὴν παιδείαν, περὶ ἣν διατρίβει. Ἀπολογία δέ τίς ἐστιν αὐτῷ καὶ τὰ ἐν τῷ Παναθηναϊκῷ τὰ μέχρι τῆς πέμπτης καὶ εἰκοστῆς παραγράφου ὑπὲρ ἑαυτοῦ προειρημένα ἔτι δὲ ἀπολογία ἢ ἔπαινος καὶ τὰ ὑπὲρ Τιμοθέου ἐν τῇ Ἀντιδόσει (107 κ. ἑξ.).

Τὴν μὲν **νουθέτησιν ἢ ἐπίπληξιν ἢ ἐπιτίμησιν,** ὥς γ' ἔμ' εἰδέναι, Ἰσοκράτης οὐκ ἔτυχεν εἰπών, ἀλλὰ λόγους ἐπιπλήττον-

τας καὶ νουθετοῦντας, (12,271) «Σπουδαιοτέρους (λόγους) καὶ φιλοσοφικωτέρους εἶναι νομίζοντας--τοὺς ἐπιπλήττοντας τοῖς ἁμαρτανομένοις καὶ νουθετοῦντας τῶν πρὸς ἡδονὴν καὶ χάριν λεγομένων». Ὁριζόμενος δὲ τὸ νουθετεῖν πρὸς τὸ κατηγορεῖν καὶ τούτου διακρίνων λέγει που (4,130) «Χρὴ δὲ κατηγορεῖν μὲν ἡγεῖσθαι τοὺς ἐπὶ βλάβῃ λοιδοροῦντας, νουθετεῖν δὲ τοὺς ἐπ' ὠφελείᾳ τοιαῦτα πράττοντας», καὶ (5,72) «προσήκει τοὺς μὲν ἐπὶ βλάβῃ λοιδοροῦντας μισεῖν; τοὺς δ' ἐπ' ὠφελείᾳ νουθετοῦντας ἐπαινεῖν»· ὥστε λόγος νουθετῶν ἂν εἴη ὁ ἐπ' εὐνοίᾳ καὶ ὠφελείᾳ λοιδορῶν. Τῷ δὲ νουθετεῖν τε καὶ ἐπιπλήττειν καὶ ἐπιτιμᾶν συνωνύμοις οὐχ ἅπαξ κεχρημένοις ἐν τοῖς λόγοις φαίνεται, οἷον (2,28) «Πιστοὺς ἡγοῦ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας», καὶ (4,11) «τινὲς ἐπιτιμῶσι τῶν λόγων τοῖς ὑπὲρ τοὺς ἰδιώτας ἔχουσι», καὶ (4,102) «εἰκότως ἂν ἡμῖν ἐπιτιμῷεν». καὶ (10,7) «Τοῖς δὲ παιδεύειν προσποιουμένοις ἄξιον ἐπιτιμᾶν», καὶ (10,14) «ἵνα δὲ μὴ δοκῶ τὸ ῥᾷστον ποιεῖν, ἐπιτιμᾶν τοῖς ἄλλοις», καὶ (11,30) «εἰ μὲν ἄλλος τίς μοι τὸν τρόπον τοῦτον ἐπέπληττεν, ἡγούμην ἂν αὐτὸν πεπαιδευμένως ἐπιτιμᾶν», καὶ (11,50) «μὴ θαυμάσῃς εἰ νεώτερος ὢν--ἐπιχειρῶ σε νουθετεῖν»; καὶ (13,9) «Καὶ τοῖς τοὺς πολιτικοὺς λόγους ὑπισχνουμένους ἄξιον ἐπιτιμῆσαι», καὶ (13,19) «οὓς (τοὺς τὰς τέχνας γράψαι τολμήσαντας) οὐκ ἀφετέον ἀνεπιτιμήτους», καὶ (5,18) «ἐτόλμησαν ἐπιπλῆξαί μοι», καὶ (5,22) «Τοὺς ἐπιπλῆξαί μοι τολμήσαντας», καὶ (11,34) «οὐδεὶς ἂν αὐτῷ (τῷ λόγῳ) ἐπιπλήξειεν», καὶ (15,65) «τοῖς ἁμαρτανομένοις ἐπιπλήττω», καὶ (7,46) «ἡ δὲ (βουλὴ) τοὺς μὲν ἐνουθέτει», καὶ (8,61) «εἰ δὲ δή τις προσομολογήσειε προσηκόντως ἐπιτιμᾶν τοῖς γιγνομένοις, δίκαιον δ' εἶναι φαίη τοὺς ἐπ' εὐνοίᾳ νουθετοῦντας--καὶ συμβουλεύειν», καὶ (8,72) «Ἀνάγκη δὲ τοὺς νουθετοῦντας καὶ τοὺς κατηγοροῦντας τοῖς λόγοις χρῆσθαι παραπλησίοις».

Λόγοι δὲ νουθετοῦντες ἢ ἐπιπλήττοντες ἂν εἶεν Ἰσοκράτους ὅ τε Βούσιρις, νουθέτησιν ἔχων Πολυκράτους καὶ ἐπίδειξιν ἅμα ἐπαίνου ἢ ἀπολογίας Βουσίριδος, καὶ ἔνια τῆς κατὰ Σοφιστῶν κατηγορίας καὶ τοῦ περὶ Εἰρήνης καὶ τοῦ Ἀρεοπαγιτικοῦ.

Δικανικοὶ λόγοι

7. Τοὺς λόγους τοὺς δικανικοὺς καὶ ἄλλους πολλοῖς ὀνόμασι φιλεῖ προσαγορεύειν λέγων λόγους πρὸς τοὺς ἀγῶνας ἢ ἁπλῶς ἀγῶνας καὶ δικογραφίαν καὶ λόγους περὶ τῶν ἰδίων συμβολαίων ἢ ὑπὲρ τῶν ἰδίων συμβολαίων ἢ ἐπὶ τοῖς ἰδίοις συμβολαίοις ἢ τοὺς ἐν δικαστηρίῳ λεγομένους, οἷον (13,20) «οὐδὲν μᾶλλον πρὸς τοὺς δικανικοὺς λόγους ἢ πρὸς τοὺς ἄλλους ἅπαντας ὠφελεῖν δυναμένου», καὶ (4,11) «ὥστε τοὺς πρὸς ὑπερβολὴν πεποιημένους (λόγους) πρὸς τοὺς ἀγῶνας τοὺς ὑπὲρ τῶν ἰδίων συμβολαίων σκοποῦσι», καὶ (15,1) «εἰ μὲν ἦν ὅμοιος ὁ λόγος - - τοῖς πρὸς τοὺς ἀγῶνας γιγνομένοις», καὶ (12,271) «τῶν πρὸς τὰς ἐπιδείξεις καὶ τοὺς ἀγῶνας γεγραμμένων (λόγων)», καὶ (15,2) «ὡς ἔστι (ἡ ἐμὴ διατριβὴ) περὶ δικογραφίαν»· ὅ ἐστι περὶ γραφὴν δικανικῶν λόγων· καὶ (15,3) «Προῄρημαι λέγειν καὶ γράφειν οὐ περὶ τῶν ἰδίων συμβολαίων», καὶ (15,16) «γράφειν δὲ προῄρηνται λόγους οὐ περὶ τῶν ὑμετέρων συμβολαίων», καὶ (15,42) «μηδὲ περὶ τοὺς λόγους ὄντα με δεινὸν τοὺς περὶ τῶν ἰδίων συμβολαίων», καὶ (15,228) «τῶν λόγων ἐπιθυμοῦντες τῶν ἐπὶ τοῖς ἰδίοις συμβολαίοις λεγομένων», καὶ (15,276) «οὐκ ἔστιν ὅπως ποιήσεται τὰς ὑποθέσεις (τῶν λόγων) περὶ τῶν ἰδίων συμβολαίων», καὶ (15,4) «τοῖς ἐν δικαστηρίῳ λεγομένοις (λόγοις)».

Θαυμαστὸν δ' ὅτι πανταχοῦ τῶν λόγων τοὺς δικανικοὺς ἀτιμάζοντος λόγους καὶ οὐκ ἀξίους ἑαυτοῦ ἡγουμένου καὶ οὐδ' ὁπωτιοῦν περὶ αὐτοὺς πεπραγματεῦσθαι φάσκοντος, βλασφημεῖν δὲ καὶ διαβάλλειν τοὺς τἀναντία λέγοντας, κατηγοροῦντος δὲ πολλὰ πολλαχοῦ τῶν δικανικοὺς λόγους λεγόντων ἢ γραφόντων ἢ καὶ διδασκόντων, ὅμως αὐτοῦ λογογραφοῦντος καὶ δικανικοὶ λόγοι φέρονται, περὶ ὧν εἰκότα πάνυ ἀποφήνασθαι Διονύσιος ὁ Ἁλικαρνασεὺς δοκεῖ ἐν τῷ Ἰσοκράτει που εἰπὼν (18) «Πιστεύω λόγους τινὰς γεγράφθαι ὑπὸ τοῦ ἀνδρὸς εἰς δικαστήριον, οὐ μέντοι πολλούς», ὧν τὰ τεκμήρι' ἂν ἴδοις ἐκεῖ μετιὼν (18). Εἰσὶ δὲ ὅ τε περὶ τοῦ Ζεύγους καὶ ὁ Τραπεζιτικὸς καὶ ὁ πρὸς Καλλίμαχον καὶ ὁ Αἰγινητικὸς καὶ ὁ κατὰ Λοχίτου καὶ ὁ πρὸς Εὐθύνουν, οἷς ἂν καὶ ἡ Ἀντίδοσις προσήκοι, οἷον δικανικὸς λόγος ὢν ἀπολογίας σχῆμα ἔχων.

Ζ΄. Τὸ τῶν λόγων ἢ τῆς ῥητορικῆς τέλος.

Ὅ τι οἱ λόγοι οἱ ῥητορικοὶ βούλονται ποιεῖν πολλάκις Ἰσοκράτης ἔτυχεν εἰπὼν ἄλλοτ' ἄλλα λέγων. Εἶπε μὲν γάρ που ἐν Νικοκλεῖ τὸ εὖ λέγειν σκοπὸν εἶναι τοῦ ῥήτορος (1) «διὰ τί τοὺς εὖ λέγειν ἐπιθυμοῦντας ψέγουσι ;», ἀλλαχοῦ δὲ τὸ πείθειν ἀλλήλους, (6) «Ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους», ἐν δὲ τῷ Φιλίππῳ τὸ ἡδεῖς τε ἅμα εἶναι τοὺς λόγους καὶ πιστούς, (27) «δι' ὧν (εὐρυθμιῶν καὶ ποικιλιῶν) τοὺς λόγους ἡδίους ἂν ἅμα καὶ πιστοτέρους ποιοῖεν», ἐν δὲ τῇ Ἀντιδόσει τὸ εὖ λέγεθαι τὸν λόγον, οὐ τὸ χαριέντως μόνον. (62) φανήσονταί τινες οἳ χαριέντως εἰρῆσθαι ταῦτα φήσουσι, τὸ γὰρ εὖ φθονήσουσιν εἰπεῖν», ἐν Βουσίριδι δὲ τὸ πείθειν, (47) «Ἆρ' οὖν χρὴ λόγους γράφειν, οἷς τοῦτο προσέσται μέγιστον ἀγαθόν, μηδένα πεῖσαι τῶν ἀκουόντων;», καὶ ἐν τῇ Ἀντιδόσει (72) «Ἐπιχειρῶ δὲ καὶ τοῦτο πείθειν αὐτὸν (Νικοκλέα)». καὶ (85) «τὴν πόλιν ὅλην πειρῶμαι πείθειν». καὶ (247) «τὴν μὲν Πειθὼ μίαν τῶν θεῶν νομίζουσιν εἶναι Ἀθηναῖοι), -- τοὺς δὲ τῆς δυνάμεως ἧς ἡ θεὸς ἔχει μετασχεῖν βουλομένους διαφθείρεσθαί φασιν», ἄλλοθι δὲ τὸ εὖ λέγειν τε καὶ τὸ πείθειν, (275) «βελτίους ἂν γίγνοιντο, εἰ πρὸς τὸ λέγειν εὖ φιλοτίμως διατεθεῖεν καὶ τοῦ πείθειν δύνασθαι τοὺς ἀκούοντας ἐρασθεῖεν», καὶ (278) «Τὸ λέγειν εὖ καὶ τὸ φρονεῖν παραγενήσεται τοῖς φιλοσόφοις καὶ φιλοτίμως πρὸς λόγους διακειμένους. Καὶ μὴν οὐδ' ὁ πείθειν βουλόμενος ἀμελήσει τῆς ἀρετῆς».

Κατὰ δὴ ταῦτα συμβαίνει τὴν ῥητορικὴν μὴ εἰς τὸ πείθειν μόνον ἀποβλέπειν, ἀλλὰ καὶ εἰς τὸ εὖ λέγειν, ὥσπερ Ἰσοκράτει δοκεῖ· καὶ εἰκότως. Τοῦτο γάρ τοι τῶν λόγων τά τε ἐγκώμια καὶ αἱ ἐπιδείξεις ἐοίκασι διώκειν. Οὐκ ἄρα Ἰσοκράτους ἐστὶν ὁ ὅρος «πειθοῦς δημιουργὸς ἡ ῥητορική», ὥσπερ ἐν τοῖς σῳζομένοις μορίοις τῆς λεγομένης αὐτοῦ τέχνης γέγραπται.

Η΄. Ὑποθέσεις τῶν λόγων,

Ὑπόθεσιν μὲν τοὔνομα τῇ κοινῇ τε καὶ συνήθει δυνάμει πολλὰ Ἰσοκράτης ἔτυχεν εἰπών, οἷον (2,7) «Εἰ μὲν οὖν ἔσται τὸ δῶρον

ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν», καὶ (5, 10) «χαλεπόν ἐστι περὶ τὴν αὐτὴν ὑπόθεσιν δύο λόγους ἀνεκτῶς εἰπεῖν», καὶ (5,83) «ὅτε ἔγραφον περὶ τὴν αὐτὴν ὑπόθεσιν ταύτην», καὶ (10,1) «Εἰσί τινες, οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι», καὶ (15,58) «Τοιαύτην δὲ τὴν ὑπόθεσιν ποιησάμενος ἀποφαίνω τὴν πόλιν ἁπάντων τῶν ὑπαρχόντων τοῖς Ἕλλησιν ἀγαθῶν αἰτίαν γεγενημένην», καὶ (15,61) «ὥστε τοὺς πρότερον γράψαντας περὶ τὴν ὑπόθεσιν ταύτην ἅπαντας ἠφανικέναι», καὶ (15,88) «παντάπασι πόρρω γέγονα τῆς ὑποθέσεως».

Τόπον δ' οὐχ ἅπαξ ηὕρηται λέγων Ἰσοκράτης τὴν ὑπόθεσιν ἢ ὑποθέσεώς τι μόριον,, οἷον (5,109) «Ἐγὼ δ' ὁρῶ μὲν τόπον ἴδιον καὶ παντάπασιν ἀδιεξέργαστον --, ποθοῦντα δὲ τὸν ἀξίως ἂν δυνηθέντα διαλεχθῆναι», καὶ (10,4) «ἔτι περὶ τὸν τόπον τοῦτον (περὶ ψευδεῖς ὑποθέσεις) διατρίβουσιν (οἱ σοφισταί)», καὶ (10,38) «ἵνα δὲ μὴ δοκῶ δι' ἀπορίαν περὶ τὸν αὐτὸν τόπον διατρίβειν», καὶ (15, 88) «λοιπὸν οὖν ἐστιν οὐδὲν ἄλλο πλὴν -- ἐπανελθεῖν εἰς τὸν τόπον ἐκεῖνον, ἐξ οὗπερ ἐνέπεσον εἰς τὴν περιττολογίαν ταύτην».

Καὶ **προκείμενα** δέ που αὐτῷ ἡ ὑπόθεσις εἴρηται εἰπόντι (6, 15) «οὐδὲν ἂν περὶ πλείονος ποιησαίμην ἢ δυνηθῆναι περὶ τῶν προκειμένων ὡς βούλομαι διελθεῖν».

Περιβολὴ δὲ λόγου Ἰσοκράτει κεφάλαιον τοῦ λόγου δηλοῖ οὖσα ἡ διάνοια ἢ καὶ ὑπόθεσις. Ἵνα δὲ εἰδῇς, σκόπει μοι τὸ ἐν Φιλίππῳ (16) «ἡ μὲν οὖν περιβολὴ παντὸς τοῦ λόγου τοιαύτη τίς ἐστι», καὶ τὸ ἐν τῷ Παναθηναϊκῷ (244) «τὴν μὲν οὖν περιβολὴν τοῦ λόγου δοκεῖ μοι ποιήσασθαι μετὰ τοιαύτης διανοίας».

Ποίας δέ τινας **δεῖ** τὰς τῶν λόγων **ὑποθέσεις** εἶναι πολλάκις Ἰσοκράτης ἔτυχεν εἰπών, ἐπιτιμῶν ταῖς κακαῖς καὶ ἀδοκίμοις. Ἴδοις δ' ἂν τοιαῦτα μετιὼν μάλιστα μὲν ἐν τῇ Ἑλένῃ (1--13), ἔνθ' ἂν ἀκούοις αὐτοῦ λέγοντος. (1) «Εἰσί τινες οἳ μέγα φρονοῦσιν, ἢν ὑπόθεσιν ἄτοπον καὶ παράδοξον ποιησάμενοι περὶ ταύτης ἀνεκτῶς εἰπεῖν δυνηθῶσι· καὶ καταγεγηράκασιν οἱ μὲν οὐ φάσκοντες οἷόν τ' εἶναι ψευδῆ λέγειν οὐδ' ἀντιλέγειν οὐδὲ δύο λόγω περὶ τῶν αὐτῶν πραγμάτων ἀντειπεῖν, οἱ δὲ διεξιόντες ὡς ἀνδρεία καὶ σοφία καὶ δικαιοσύνη ταὐτόν ἐστι (Πλάτων)· -- ἄλλοι δὲ περὶ τὰς

ἔριδας διατρίβουσι τὰς οὐδὲν μὲν ὠφελούσας, πράγματα δὲ παρέχειν τοῖς πλησιάζουσι δυναμένας». (4) «Οὓς ἐχρῆν ἀφεμένους ταύτης τῆς τερθρείας - τὴν ἀλήθειαν διώκειν καὶ περὶ τὰς πράξεις, ἐν αἷς πολιτευόμεθα, τοὺς συνόντας παιδεύειν--ἐνθυμουμένους ὅτι πολὺ κρεῖττόν ἐστιν περὶ τῶν χρησίμων ἐπιεικῶς δοξάζειν ἢ περὶ τῶν ἀχρήστων ἀκριβῶς ἐπίστασθαι». Τοιαῦτα δ' ἂν ἄλλα καὶ ἀλλαχοῦ ἀναγνοίης τοῦ λόγου τούτου (8—13), ἐξ ὧν πάντων ἂν μάθοις, ὅτι αἱ περὶ μεγάλων καὶ ἀληθῶν καὶ τῶν πολιτικῶν μάλιστα πραγμάτων ὑποθέσεις ἐπαινοῦνται ὑπὸ Ἰσοκράτους, αἱ δὲ περὶ σμικρῶν καὶ ψευδῶν ἀποδοκιμάζονται καὶ ψέγονται.

Τοῦ μετατιθέναι γίνεται χρῆσις καὶ ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις Τόμ. Α', σελ. 125, 1 «ἀλλ' ὅ γε Ἀρίσταρχος οὐ μετέθηκεν, ἀλλ' οὕτως γράφει» καὶ σελ. 155, 3 «προκρίνει μὲν τὴν διὰ τοῦ Ε γραφὴν βήσετο. πλὴν οὐ μετατίθησιν, ἀλλὰ διὰ τοῦ Α γράφει ὁ Ἀρίσταρχος» καὶ σελ. 313, 7 «ἀλλ' ὅμως ὑπὸ περιττῆς εὐλαβείας οὐδὲν μετέθηκεν, ἐν πολλαῖς οὕτως εὑρὼν φερομένην τὴν γραφήν» καὶ σελ. 325, 5 «Διονύσιος ὁ Θρᾷξ ἐν τῷ πρὸς Κράτητα διὰ τῆς ἱπποδρομίας φησὶ γεγραμμένου ἀντιόωντες μεταθεῖναι τὸν Ἀρίσταρ-

χος ἀμφὶς ἐόντες» καὶ ἐν τοῖς εἰς Ὀδύσσειαν σελ. 314, 29 «ὅμως ἐπί τινων ὁ Ζηνόδοτος ἐπὶ τὸ χεῖρον μετατίθησι» καὶ σελ. 492,17 «πῶς οὖν οὐχὶ καὶ τὴν εὐπατέρειαν μετέθηκαν;». Βλέπει δέ τις ἐν τοῖς εἰς Ἰλιάδα Σχολίοις καὶ τὸ μέσον μεταθέσθαι Τόμ. Β΄, σελ. 157, 20 «οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσταρχον πρώτῃ ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσθαι καὶ γράψαι ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται» (Ἴδε Λαρόχην ἐν *Homer. Textkrit.* σελ. 61 καὶ σελ. 62 καὶ σελ. 63). Ἀπαντᾷ δὲ καὶ παρὰ τῷ Φρυνίχῳ Ἐκλογ. σελ. 412 Λοβ. «Πεντάμηνον, πεντάπηχυ: μετάθες τὸ Α εἰς τὸ Ε πεντέμηνον λέγων καὶ πεντέπηχυ» καὶ σελ. 428 «Κυνηγός: τοῦτο τοὔνομα οὕτω πως μεταχειρίζονται· οἱ μὲν τραγικοὶ ποιηταὶ τρισυλλάβως λέγουσι καὶ δωρίζουσι, τὸ Η εἰς Α μετατιθέντες, κυναγός, οἱ δ' Ἀθηναῖοι κτέ.». Ἀπολλώνιος ὁ Ἀλεξανδρεὺς χρῆται τῷ τε ῥήματι μετατιθέναι - μετατίθεσθαι καὶ τῷ ὀνόματι μετάθεσις, οἷον περὶ Ἀντων. σελ. 96 «ἀπὸ τῆς σοῦ Δώριος ἐγίνετο ἡ ΤΕΟΥ ὁμότονος, μεταθεῖσα τὸ Σ εἰς τὸ Τ καὶ πλεονάσασα τῷ Ε» καὶ σελ. 105 «ἰδίως γὰρ ἡ μετάθεσις ἡ εἰς τὸ Τ τοῦ Ε δεκτική ἐστι» καὶ «μεταθέσει τοῦ Ε εἰς τὸ Ι, ὅπερ σύνηθες» καὶ σελ. 125 «οὐχ ὑγιὲς δὲ πάλιν εἰσηγεῖσθαι τὴν σφίσιν ἀπὸ τῆς σφέσι, μεταθέσει τοῦ Ε εἰς τὸ Ι, Βοιωτικῶς ἢ Ἰακῶς» καὶ «παρὰ Βοιωτοῖς οὐ μετατίθεται, συμφώνου ἐπιφερομένου, τὸ Ε εἰς τὸ Ι» καὶ σελ. 138 «εἰ γὰρ ἀπὸ τοῦ καλοῦ καλοῖο, μετατιθεμένου τοῦ Υ εἰς τὸ Ι καὶ προστιθεμένου τοῦ Ο, σαφὲς ὅτι καὶ ἐπὶ τῆς ἐμοῦ ταὐτὸν παρηκολούθει» (Πρβ. καὶ σελ. 131, 28) καὶ περὶ Συντ. σελ. 55, 18 «διὰ τοῦτο καὶ ἡ Ἰωνικὴ μετάθεσις ἐξηλλάγη ἐπὶ τούτων τῶν μορίων, ἐπεὶ τὰ ψιλὰ εἰς δασέα μετατιθέασιν οἱ Ἴωνες καὶ τὰ δασέα εἰς ψιλά» καὶ σελ. 160, 2 «κατ' ἐπένθεσιν τοῦ Ι ἢ καὶ κατὰ μετάθεσιν τοῦ Υ εἰς τὸ Ι» (Πρβ. καὶ σελ. 234, 2 καὶ σελ. 239, 9). Ἐλέχθη δὲ καὶ ὑπὸ τοῦ Πολυβίου σελ. 247,31 Οὐλσχ. «ῥητέον οὐκ ἐπιτιμῶντας οὐδ' ἐπιπλήττοντας, ἐπαινοῦντας δὲ μᾶλλον καὶ διορθουμένους τὴν ἄγνοιαν αὐτῶν, γινώσκοντας ὅτι κἀκεῖνοι τῶν νῦν καιρῶν ἐπιλαβόμενοι πολλὰ τῶν αὐτοῖς εἰρημένων εἰς διόρθωσιν ἂν καὶ μετάθεσιν ἤγαγον» καὶ σελ. 948, 24 «ὁ δὲ λαβὼν τὴν ἐπιστολὴν καὶ γνοὺς ἀδύνατον οὖσαν τὴν μετάθεσιν διὰ τὸ προεκδεδωκέναι τὰς συντάξεις, ἐλυπήθη μὲν ὡς ἔνι μάλιστα, ποιεῖν δ' οὐδὲν εἶχε»

καὶ ὑπὸ τοῦ Ἰωσήπου Τόμ. Ε', σελ. 57, 19 Νισ. «ἡ δὲ περὶ τὴν ὀνομασίαν τοῦ σαββάτου γραμματικὴ μετάθεσις ἀναίδειαν ἔχει πολλὴν ἢ δεινὴν ἀμαθίαν· τὸ γὰρ σαββῶ καὶ σάββατον πλεῖστον ἀλλήλων διαφέρει» (Πρβ. καὶ σελ. 9, 12 καὶ σελ. 10, 23 καὶ σελ. 48, 18 καὶ σελ. 74, 6).

Ὡς δ' ἐλέχθη ὑπὸ τοῦ Γαληνοῦ τὸ «ἄλλων ἄλλως αὐτὰς ῥυθμιζόντων», οὕτως ὑπὸ Πρόκλου τοῦ Διαδόχου εἰς τὸν Τίμ. Πλάτ. σελ. 173 Σνειδ. «καὶ γὰρ εἰ μικρόν πως τὴν λέξιν ΜΕΤΑρρυθμίσαιμεν, αὐτόθεν ἔσται τὸ πᾶν καταφανές» καὶ ὑπὸ τοῦ Σιμπλικίου Ὑπομνήμ. εἰς Ἀριστοτ. Τόμ. Θ', σελ. 91, 27 «κἂν ἐκκλίνοντες καὶ μεταρρυθμίζοντες τὴν λέξιν τὴν κατηγορίαν ἐποιοῦντο» καὶ σελ. 96, 34 «οἱ μὲν ἀφαιροῦντες τὸ ἔστιν ἀπὸ τῶν συμβεβηκότων, οἱ δὲ παρεκκλίνοντες καὶ μεταρρυθμίζοντες τὴν λέξιν» καὶ σελ. 99, 30 «ὁ Ἀλέξανδρος Πλάτωνά φησιν εἶναι τὸν τὴν λέξιν μεταρρυθμίζοντα τῶν συμβεβηκότων». Πρβ. καὶ σελ. 91, 21 «ἄλλοι δὲ ἀποφαντικὸν λόγον ποιεῖν βουλόμενοι εἰς ῥήματα μετέπλαττον τὰ κατηγορούμενα» καὶ σελ. 93, 30 «τινὲς δὲ εἰς ῥήματα μετέπλασσον τὰ κατηγορούμενα ἐμφαίνοντες τὸ ἐλάττονα αὐτὰ εἶναι καὶ συμβεβηκότα μᾶλλον» καὶ σελ. 758, 9 «ἱστορεῖ δὲ καὶ ἄλλην γραφὴν ὁ Ἀλέξανδρος διὰ τὴν εἰρημένην ἴσως ἀπορίαν οὕτω μεταπλασθεῖσαν».

Μνημονεύομεν καὶ τὰ ὑπὸ Νικηφόρου τοῦ Γρηγορᾶ εἰρημένα Τόμ. Γ', σελ. 548, 1 «τὸ μὲν εὖ προσθήκῃ τοῦ Φ στοιχείου πρὸς τὸ φεῦ μεταστοιχειώσαντες, τὸ δὲ καλὸν αὖ ἑνὸς ἀλλοιώσει τοῦ Λ στοιχείου μεταβεβληκότες εἰς τὸ κακὸν διὰ τῆς εἰς τὸ Κ μεταβολῆς· καὶ πρός γε ἔτι τὴν περὶ πρόθεσιν, λέξιν οὖσαν ὅλην, παραξέσαντες καὶ πρὸς τὴν κατὰ μετεννηνοχότες ἀντὶ τοῦ περὶ τοῦ φωτὸς κατὰ τοῦ φωτός μεθηρμόσαντο, ἀθύρουσι παιδαρίοις προσόμοια δρῶντες».

Ἄξιον ἐπιστάσεως εἶνε τὸ ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου κείμενον σελ. 1714, 53 «Δωριεῖς μὲν γὰρ τὸ ἦτα εἰς Α μακρὸν τρέπουσιν, οἷον δῆμος δᾶμος, μὴν μάν, Ἴωνες δὲ εἰς βραχὺ καταστρέφουσιν, οἷον λεληκυῖα λελακυῖα, μεμηκυῖα μεμακυῖα· οὕτως Ἀφθόνιος». Πρβ. καὶ σελ. 1012,61 «τὸ δὲ μεταστρέψεις ἀντὶ τοῦ μεταθήσεις, μεταποιήσεις· ἡ δὲ μεταφορὰ ἐκ σωμάτων, ἃ στρεφόμενα χροιὰν ἑτέραν προφαίνουσι».

Τὸ πλημμελῶς παρὰ τῷ Γαληνῷ γεγραμμένον παραγράφειν ἐπηνωρθώσαμεν πρὸ πολλῶν ἐτῶν ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ 1878, σελ. 147 μεταθέντες τὴν πρόθεσιν ΠΑΡΑ εἰς τὴν ΜΕΤΑ· μετετυπώσαμεν δὲ καὶ τὸ «βραχείαις ΤΕ τισιν ἢ προσθέσεσιν κτέ.» εἰς τὸ «βραχείαις ΓΕ τισιν κτέ.». Ποιησάμενοι τὰς μεταβολὰς ταύτας ἐν τῷ Ἀθηναίῳ ἐγράψαμεν «Παράδοξον ἡμῖν φαίνεται ὅτι ὁ ἐπιφανέστατος τῶν κριτικῶν παραθέμενος τὰς τοῦ Γαληνοῦ ῥήσεις ἐν *Nov. Lect.* σελ. θ′ κέ. καὶ ἐν Λογ. Ἑρμ. Τόμ. Α′, σελ. 226 κέξ. οὐδεμίαν οὔτε περὶ τοῦ ΠΑΡΑγράφειν ἐποιήσατο παρατήρησιν οὔτε περὶ τοῦ βραχείαις ΤΕ τισιν». Ἀλλ' ἔπειτα ὁ Κόβητος μετέβαλε μὲν ἐν τῇ Μνημοσύνῃ 1885, σελ. 254 τὸ παραγράφειν εἰς τὸ μεταγράφειν, ἀνέγνω δὲ σελ. 253 «βραχείαις τέ τισιν ἢ προσθέσεσιν ἢ ἀφαιρέσεσιν ἢ ὑπαλλάξεσι» φυλάξας τὸν συμπλεκτικὸν σύνδεσμον ΤΕ. Ἄξια δὲ παραθέσεως εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1882, σελ. 439 «(Iulian) p. 68 c: laudat nobilem Platonis locum ex *Menexeno* μικρὰ παρατρέψας, nempe pro ὅτῳ ἀνδρὶ — ἐς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, substituit: ἐς ΤΟΝ ΘΕΟΝ ἀνήρτηται, deinde ita pergit: εἰ δὲ ἐπιτρέπει μηδεὶς ΠΑΡΑγράφειν — ἀλλ' ὥσπερ ἱερὸν ἀρχαῖον κελεύοι μένειν ἐᾶν ἀκίνητον, οὐδὲ οὕτως ἄλλο τι διανοεῖσθαι τὸν σοφὸν ἐροῦμεν. Non est huius loci verbum παραγράφειν *adscribere*, sed requiritur *scripturam mutare* ΜΕΤΑγράφειν. *Si non licet*, inquit, *id quod apud Platonem scriptum est mutare, etiam sic eadem sapientis viri sententia est*». Σημειωτέον δ' ὅτι καὶ τοὐναντίον καθ' ἡμαρτημένην ἀνάγνωσιν μετέπεσε τὸ παράλλαξις εἰς τὸ μετάλλαξις. Παρὰ τῷ Ξενοφῶντι Κύρ. Παιδ. ϛ′, ϐ′, 29 πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ «ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς» φέρεται καὶ ἡ πλημμελὴς μετάλλαξις.

Ἐπάναγκες δ' εἶνε νὰ ἐξετασθῇ ἀκριβέστερον ἡ ῥῆσις τοῦ Γαληνοῦ, ἐν ᾗ κεῖται «βραχείαις τέ τισιν ἢ προσθέσεσιν κτέ». Ἡ ῥῆσις αὕτη, ἂν προστεθῶσιν αὐτῇ αἱ εὐκόλως προσυπακουόμεναι λέξεις, θὰ ἔχῃ ὧδέ πως «ὥσπερ γὰρ τὸ μεταγράφειν τὰς παλαιὰς ῥήσεις προπετές, οὕτω καὶ φυλάττοντας **αὐτὰς** (τὰς παλαιὰς δηλονότι ῥήσεις) ὡς γέ-

γραπται **αὗται** βραχείαις τέ τισιν ἢ προσθέσεσιν κτέ», ἀλλὰ κατ' οὐδένα τρόπον ἠδύνατο ὁ Γαληνὸς νὰ εἴπῃ «γέγραπται αὗται» ἀντὶ τοῦ γεγραμμέναι εἰσὶν αὗται· ὅθεν εἰκάζομεν ὅτι ἐρρήθη ὑπ' αὐτοῦ «οὕτω **τὸ** φυλάττοντΑΣ (ἑκΑΣτην) ὡς γέγραπται κτέ». Ἐπειδὴ δ' ἀτοπώτατα κεῖται ὁ συμπλεκτικὸς σύνδεσμος ΤΕ ἐν τῷ «βραχείαις τέ τισιν ἢ προσθέσεσιν κτέ», οὐδεμιᾶς χρείας αὐτοῦ ὑπαρχούσης, εὔλογον ἡμῖν ἐφάνη ν' ἀναγνωσθῇ «βραχείαις γέ τισιν ἢ προσθέσεσιν κτέ». Καὶ ἐν ἄλλοις δὲ τόποις τοῦ Γαληνοῦ εἶνε μεταβεβλημένον ὑπὸ τῶν βιβλιογράφων τὸ ΓΕ εἰς τὸ ΤΕ.

Τόμ. Α΄, σελ. 101 «τὴν δὲ ὁρμὴν τῆς φύσεως, ἂν ἐν καιρῷ γένηται, δέχεσθαι, μηδὲ περὶ τὰ σώματα τῶν ὀφθαλμῶν αὐτὰ πραγματευόμενον, ἅτε (ἅ τε) μηδὲ τῆς ῥύσεως ἦν αἴτια».

Τόμ. Ε΄, σελ. 95 «ἢ δι' ὅλου τοῦ βίου σαυτὸν ἀνάσχες ἀπὸ τῆς τοιαύτης συγκαταθέσεως, ἣν ὀνομάζουσί ΤΕ πρόπτωσιν καὶ προπέτειαν».

Τόμ. Η΄, σελ. 42 «ὡς ἐφ' ἑτέρου ΤΕ, ταχείας ἐπὶ τῇ λήξει τῆς ἐκκρίσεως γινομένης, ἐτεκμηράμην εἶναι τῶν κάτω τὴν διάθεσιν» καὶ «τοῦτον δὲ τοῖς εἰρημένοις ἐδέσμασιν ἰασάμην, ἐπιστάμενός ΤΕ τοῦτο βεβαίως ὅτι κτέ».

Τόμ. Θ΄, σελ. 356 «καὶ χαίρουσί γε οἱ πλεῖστοι τῷ λουτρῷ καὶ βελτίους γίγνεσθαί φασιν· ἅτε γὰρ ἀποθέμενοι μὲν ἀπὸ παντὸς τοῦ σώματος τὴν ἀνωμαλίαν, οὐδὲν δὲ ἀξιόλογον εἴς ΤΕ τὸ παραυτίκα βλαπτόμενοι, χάριν τοῦ λουτροῦ γινώσκουσιν».

Τόμ. ΙΒ΄, σελ. 593 «ἐχρῆν γὰρ αὐτούς, εἰ καὶ μηδὲν ἴδιον ἐπ' αὐτῶν ἐστί, διὰ τὸ περιέχεσθαι κατὰ τὸ τῆς κεφαλαλγίας, αὐτό ΤΕ ἐπισημαίνεσθαι».

Τόμ. ΙΓ΄, σελ. 8 «προσαγορεύουσι δὲ αὐτὸ σίραιον οἱ ἀττικίζοντες καὶ λέγουσιν, ὥσπερ ἔνιοι τὸ τῶν ἰσχάδων ἀφέψημα, καὶ μάχη αὐτοῖς ΤΕ ἐστὶν ὁπότερον αὐτῶν χρὴ καλεῖν τὸ σίραιον». Ὀρθῶς εἶνε γεγραμμένον ἐν Τόμ. Ε΄, σελ. 485 «καὶ μάχη ΓΕ πολλάκις ἑκατέρων ἰσχυρὰ γίγνεται πρὸς ἄλληλα». Πιθανώτατον δ' ἡμῖν φαίνεται ὅτι ἐρρήθη ὑπὸ τοῦ Γαληνοῦ «προσαγορεύΕΙΝ δὲ αὐτὸ σίραιον οἱ ἀττικίζοντες κΕλεΥουσιν — καὶ μάχη αὐτοῖς γε ἐστὶν ὁπότερον αὐτῶν χρὴ καλεῖΣΘΑΙ σίραιον».

Τόμ. ΙΖ΄, β΄, σελ. 33 «τίνας λέγει πιτυρώδεις ἄπορον εὑρεῖν, ἐὰν

ΤΕ τις μὴ καθάπερ Ἡροδότου καὶ Κτησίου μόνον ὡς ἱστορίαν ἀναγινώσκῃ τὰ βιβλία τῶν παλαιῶν ἰατρῶν».

Τόμ. ΙΗ', β',σελ. 702 «ἐπειδὴ πρῶτόν ἐστι τὸ ἁπλοῦν τοῦ συνθέτου καὶ πολλάκις ΤΕ τῶν ἁπλῶν, οὐδενὸς ὄντος ἀσαφοῦς, ἡ σύνθεσις αὐτῶν τὴν ἀσάφειαν ἐργάζεται» καὶ σελ 62 «ἡ γραφὴ μὲν οὕτως ἔχει καθότι γέγραπται νῦν ὑπ' ἐμοῦ καὶ τὰ ΤΕ παλαιὰ τῶν ἀντιγράφων οὐκ ἄλλην ἔχει» Πρβ. καὶ Ι. Μυλλῆρον ἐν τῇ ἐκδόσει τοῦ περὶ τῶν καθ' Ἱπποκρ. καὶ Πλάτ. Δογμάτων συγγράμματος τοῦ Γαληνοῦ Τόμ. Α', σελ 82.

Οὐδὲν δὲ κωλύει νὰ μνημονευθῶσι καί τινα τῶν χωρίων τοῦ Γαληνοῦ, ἐν οἷς φέρεται τὸ ὑγιῶς ἔχον. Τόμ. Α', σελ. 88, 7 «καὶ ὀλίγων ΓΕ ἡμερῶν ὑγιὲς ἀπέφηνε τὸ μέρος» καὶ Τόμ. Η', σελ. 42 «οὐχ ἁπλῶς οὖν προσήκει σκοπεῖσθαι τοῦτο μόνον εἰ ἡ γαστὴρ πέπονθεν ἤ τι τῶν ἐντέρων, ἀλλὰ καὶ τί τὸ πάθος ἐστί, καὶ διορίσασθαί ΓΕ τίνα μὲν ἴδια τῶν παθῶν ἐστι σημεῖα,κτέ» καὶ σελ. 56 «πιθανῶς δ' οὐδὲν ἧττον ἄν τις λέγοι κἀπὶ τῶν ΓΕ στερισκομένων ὕλης τινὸς ἢ δυνάμεως βεβλάφθαι τὸ μόριον» καὶ σελ. 59 «εἷς δέ τις ὡμολόγει, καὶ τοὔνομά ΓΕ τοῦ παθόντος ἔλεγε» καὶ σελ. 60 «καὶ τόν ΓΕ πρωτοπαθοῦντα τόπον ἐκ τοῦ πλήθους τῶν βεβλαμμένων νεύρων μόνον ἔστιν ἐξευρεῖν» καὶ Τόμ. ΙΒ', σελ. 235 «σκωρία πᾶσα ξηραντικὸν ἱκανῶς ἐστι φάρμακον, ἡ δὲ τοῦ σιδήρου μάλιστα· καὶ λειοτάτην ΓΕ ποιῶν αὐτὴν ἐν ὄξει δριμυτάτῳ» καὶ Τόμ. ΙΗ', α', σελ. 721 «καὶ λέλεκταί ΓΕ περὶ τούτου μικρὸν ἔμπροσθεν» καὶ σελ. 732 «ἀλλ' ἐκ ταύτης ΓΕ τῆς διηγήσεως ἀκόλουθον αὐτὸ νοῆσαι βραχὺν εἶναι κατὰ μῆκος αὐτόν».

Ἐν τέλει παρατηροῦμεν ὅτι ἀνέγνωμεν ἐν χωρίοις τοῦ Γαληνοῦ «πάντων δὲ τῶν ὑπαλλαξάντων τὰς παλαιὰς γραφὰς τολμηρότατα» ἀντὶ τοῦ τολμηροτάτους καὶ «γραφόντων γὰρ τῶν παλαιῶν τόν τε τοῦ Η φθόγγον ἀντὶ τοῦ δίφθογγον καὶ «ὃς νῦν μόνον σημαίνει τὸν ἕτερον φθόγγον τὸν Ε» ἀντὶ τοῦ τὸν Η καὶ ἐκγραφομένων ἀντὶ τοῦ ἐγγραφομένων. Τὰς μεταβολὰς ταύτας ἐποιησάμεθα καὶ ἐν τῷ Περιοδικῷ Συγγράμματι Ἀθηναίῳ 1878 σελ. 148 καὶ σελ. 150. Ἐγένοντο δ' αὗται καὶ ὑπὸ τοῦ Κοβήτου ἐν τῇ Μνημοσύνῃ 1885, σελ. 237 καὶ σελ. 235. Πρβ. καὶ 1860, σελ. 30, ἔνθα τὸ πρῶτον μετεβλήθη ὑπὸ τοῦ Κοβήτου τὸ τολμηροτάτους εἰς τὸ τολμη-

ρότατα. Εὐκολώτατον δ' ἦτο ἀντὶ τοῦ «τολμηρόταΤΑ ΤΟΥΣ περὶ Καπίτωνα» ν' ἀναγνωσθῇ πλημμελῶς «τολμηροτάΤΟΥΣ ΤΟΥΣ περὶ Καπίτωνα». Δὲν φαίνεται δ' ὅλως ἀπίθανον ὅτι τοῦ ἐπιρρήματος· τολμηροτάτως ἐποιήσατο χρῆσιν ὁ Γαληνός, ὡς καί τινων ἄλλων τοιούτων, οἷον Τόμ. Ζ', σελ. 876 «δευτεραίου γὰρ ἀποθανόντος παραδοξοτάτως, ὡς ἐξ αὐτῆς τῆς διηγήσεως ἔνεστι μαθεῖν, εἰκότως παρέλιπεν εἰπεῖν τι περὶ δυσπνοίας ὁ Ἱπποκράτης» καὶ Τόμ. Ι', σελ. 439 «ὅτι μὲν οὖν ἐν ἀρχῇ λεπτοτάτως χρὴ διαιτᾶν ἐν τῇ τῶν φλεγμονῶν οἰκείᾳ θεραπείᾳ λεχθήσεται» καὶ Τόμ. ΙΖ', β', σελ. 374 «ὅτι δ' εὔλογον ἐν ταῖς ἀκμαῖς λεπτοτάτως διαιτᾶν, ἐπὶ πλέον μὲν ἐν ἑτέροις ἡμῖν δέδεικται» (ἀνθ' οὗ ἐν τοῖς ἔπειτα λέγεται «διὰ ταῦτα μὲν δὴ κατὰ τὰς ἀκμὰς διαιτᾶν χρὴ λεπτότατα») καὶ Τόμ. ΙΗ', β', σελ. 466 «ἀλλὰ καὶ σφοδροτάτως διαιτᾷ». Σημειωτέον δ' ὅτι ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου μνημονεύεται μαρτύριον τοῦ μὲν λεπτοτάτως ἐκ τῶν εἰς Θεόκριτον Σχολίων, τοῦ δὲ σφοδροτάτως ἐκ Θεοδώρου τοῦ Στουδίτου. Προστεθήτω δὲ τοῖς Λεξικοῖς τὸ ἐπίρρημα παραδοξοτάτως.

ΚΕΦ. ΙΑ'

Παρενέγραψε — παρέγραψε καὶ παρέγγραπτος — παράγραπτος.

Παρὰ τῷ Γαληνῷ Τόμ. ΙΖ', α', σελ. 608 ἀπαντᾷ «ὁ δ' οὖν Μνήμων εἴτ' αὐτὸς ἐκόμισε τὸ βιβλίον εἴτε λαβὼν ἐκ τῆς βιβλιοθήκης παρέγραψε, φαίνεται πράξας ἕνεκα χρηματισμοῦ τοῦτο· μόνον γὰρ ἐπίστασθαι λέγων ἑαυτὸν ἃ δηλοῦσιν οἱ χαρακτῆρες μισθὸν τῆς ἐξηγήσεως αὐτῶν εἰσεπράττετο· καί, εἴπερ τοῦθ' οὕτως ἔχει, πιθανώτερόν ἐστι τὸ κατὰ τὴν βιβλιοθήκην ἀποκείμενον ὑπ' αὐτοῦ διεσκευάσθαι».

Ἄνευ τινὸς ἐνδοιασμοῦ ἀποφαινόμεθα ὅτι ἐρρήθη ὑπὸ τοῦ Γαληνοῦ παρενέγραψεν, ὡς ἐν σελ. 606 «ἔνιοι μὲν γάρ φασιν αὐτὸν (τὸν Μνήμονα) λαβόντα τὸν τρίτον τῶν Ἐπιδημιῶν ἐκ τῆς ἐν Ἀλεξανδρείᾳ μεγάλης βιβλιοθήκης ὡς ἀναγνωσόμενον ἀποδοῦναι, παρεγγράψαντα

ἐν αὐτῷ καὶ μέλανι καὶ γράμμασι παραπλησίοις τοὺς χαρακτῆρας τούτους». Ποιεῖται δ' ὁ Γαληνὸς χρῆσιν καὶ τοῦ παθητικοῦ παρακειμένου παρεγγεγράφθαι Τόμ. ΙΕ', σελ. 9 «ἀπατηθέντες ἐκ τῶν ἐν αὐτῷ διεσκευασμένων τε καὶ παρεγγεγραμμένων» καὶ σελ. 109 «τὸ δὲ μεταξὺ τούτου τε καὶ τοῦ περὶ φύσιος ἀνθρώπου διεσκεύασται παρεγγεγραμμένον ὑπὸ τοῦ πρῶτον συνθέντος εἰς ταὐτὸ τὰ δύο ταῦτα βιβλίδια» καὶ σελ. 164 «καὶ ἄλλα δὲ πολλὰ τῶν παρεγγεγραμμένων ἐνδείκνυται σαφῶς αὐτὰ μήθ' Ἱπποκράτους εἶναι μήτε Πολύβου» καὶ Τόμ. ΙΖ', α', σελ. 608 «οὐκ ὀκνοίην δ' ἂν οὐδὲ τὰς ὑφ' Ἡρακλείου τοῦ Ταραντίνου τε καὶ τοῦ Ἐρυθραίου γεγραμμένας ἀποδείξεις τοῦ παρεγγεγράφθαι τοὺς χαρακτῆρας εἰπεῖν» καὶ Τόμ. ΙΖ', β' σελ. 249 «Διὰ τοῦτ' οὖν οὐδὲ γνησίαν νομίζω τὴν προκειμένην ῥῆσιν εἶναι, παρεγγεγράφθαι δ' ὑπό τινος, ὥσπερ καὶ ἄλλας οὐκ ὀλίγας. Ἴσως δὲ καὶ τὸν υἱὸν αὐτοῦ Θέσσαλον ἀθροῖσαί φασι (Κὸβ. ὃν ἀθροῖσαί φασι) τὰς ὑπογραφὰς τοῦ πατρὸς εὑρόντα γεγραμμένας ἐν χάρταις τε καὶ διφθέραις καὶ δέλτοις καὶ τοιαύτας τινὰς παρεντεθεικέναι ῥήσεις». Πρβ. καὶ σελ. 72 «πολλὰ δὲ καὶ ἄλλα μοχθηρῶς λέγουσιν εἰς τὴν ῥῆσιν ἡμαρτημένην, ὡς ἐμοὶ φαίνεται, σχεδὸν δὲ καὶ παρεγκειμένην ὑπό τινος».

Παρὰ τῷ Κεδρηνῷ Τόμ. Β', σελ. 88, 10 κεῖται «ὁ δὲ τούτου παράγραπτος καὶ νόθος υἱὸς Ἀναστάσιος τὸ τῆς Βιζύης φεύγων κατέσχε φρούριον»· λέγεται δὲ σελ. 835 «παράγραπτος καὶ νόθος υἱός: illegitima adoptione Thomae adscriptus».

Ἂν ἐφέρετο ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐπίθετον παράγραπτος, θὰ ἐσήμαινε μὲν τὸ ἐναντίον τοῦ δηλουμένου ὑπὸ τοῦ ἀπαράγραπτος, οὐδαμῶς δὲ θὰ συνήπτετο τῷ νόθος ὡς συνωνυμοῦν αὐτῷ. Πιθανώτατον δὲ φαίνεται ὅτι οὔτ' ἐν τῷ παλαιῷ οὔτ' ἐν τῷ μεταγενεστέρῳ ἑλληνισμῷ ὑπῆρξε τοιοῦτον ἐπίθετον, ὡς διδάσκεταί τις καὶ ἐκ τῶν γεγραμμένων ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. ϛ', σελ. 229 «παράγραπτος, ὁ ἡ, lectio vitiosa. Παραγράπτους et παρεγγράπτους Suidas exp. νόθους, ξένους, Spurios, Peregrinos, perperam sc. inscriptos. Gl. illata ex Zonara p. 1499. Recta scriptura παρεγγράπτους est, qua sola utitur Suid. s.v. Παρέγγραπτον. Παρέγραπτος (sic) et παραγραπτός in Etym. Gud. p. 453, 1, 3, vitiose».

Κατ᾽οὐδένα τρόπον ἡμεῖς πειθόμενοι ὅτι ἠδύνατο ὁ Κεδρηνός, καίπερ ἀδοκιμώτατος ὢν συγγραφεύς, νὰ εἴπῃ «παράγραπτος καὶ νόθος», ἀποφαινόμεθα ὅτι ἐρρήθη μὲν ὑπ᾽ αὐτοῦ «παρέγγραπτος καὶ νόθος», μετέπεσε δὲ ὑπὸ κακῆς ἀναγνώσεως τὸ παρέγγραπτος εἰς τὸ παράγραπτος.

Ὡς ὀνομάζεται παρείσακτος ὁ παρὰ τὸ προσῆκον εἰσηγμένος, οὕτω παρέγγραπτος ὁ παρὰ τὸ πρέπον ἐγγεγραμμένος. Ἱκανὰ μαρτύρια τοῦ τε ἐπιθέτου τούτου καὶ τοῦ ῥήματος, ἐξ οὗ παρήχθη, εἶνε παρατεθειμένα ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ϛ΄, σελ. 451. Ἀξιόλογον δὲ περὶ τοῦ πράγματος παρατήρησιν ἐποιήσατο ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 63, ἥν, καίπερ μακρὰν οὖσαν, οὐδαμῶς ὀκνοῦμεν νὰ μεταγράψωμεν· «ὁ δὲ κακολόγος ἐρωτηθείς· ὁ δεῖνα τίς ἐστιν; respondet· Καθάπερ οἱ γενεαλογοῦντες πρῶτον ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξομαι· τούτου ὁ μὲν πατὴρ ἐξ ἀρχῆς Σωσίας ἐκαλεῖτο, ἐγένετο δὲ ἐν τοῖς στρατιώταις Σωσίστρατος ἐπειδὴ ΔΕ εἰς τοὺς δημότας ἐνεγράφη. Sic Palatinus. Scriptura ἐπειδὴ ΔΕ doctos homines in fraudem induxit, quasi aliquid deesset Itaque de suo addiderunt: ἐπειδὴ δὲ εἰς τοὺς δημότας ἐνεγράφη (Σωσίδημος) Non poterant infelicius. Quid? milesne scriptus est ac militavit antequam in tribulium tabulas receptus esset? Necesse id est si prius quam militaret Σωσίστρατος et postquam εἰς τοὺς δημότας ἐνεγράφη coeptus est Σωσίδημος appellari. Alio ac multo simpliciore modo scripturae vitium tolli potest: scribendum — Σωσίας ἐκαλεῖτο, ἐγένετο δὲ ἐν τοῖς στρατιώταις Σωσίστρατος ἐπειδὴ εἰς τοὺς δημότας ΠΑΡενεγράφη. *Postquam malis artibus in civitatem irrepsit* militavit et ex Sosia factus est Sosistratus. Quid notius Athenis, quid frequentius quam παρεγγραφῆναι, παρεγγεγραμμένος, παρέγγραπτος? Quod est Athenis paratius maledictum quam ξένος καὶ παρέγγραπτος? Aeschines *de F. L.* p. 38. 10. Κλεοφῶν δὲ ὁ λυροποιὸς — παρεγγραφεὶς αἰσχρῶς πολίτης καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον. Apud eundem ibid. pag. 51. 46. ἄνθρωποι παρέγγραπτοι [γεγενημένοι πολῖται], additum glossema orationem vitiosam reddidit. Erant enim παρέγγραπτοι et multi quidem sed non erant παρέγγραπτοι πολῖται. Apud Theophrastum mendi origo in εἰς τοὺς

δημόΤΑΣ ΠΑΡενεγράφη facile cognoscitur. Non est ovum ovo similius quam loco Theophrasti emendato similis est locus Demosthenis ἐν τῇ κατ' Αἰσχίνου κακολογίᾳ *de Corona* pag. 314, 2: ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης ὁπωσδήποτε, ἐῶ γὰρ τοῦτό γε, ἐπειδὴ δ' οὖν ἐνεγράφης εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις, namque μετὰ σχήματος nihil aliud dicit quam ἐπειδὴ δ' εἰς τοὺς δημότας ΠΑΡενεγράφης» (Πρβ. καὶ *Var. Lect.* σελ. 560 ἐκδ. β'). Ἄξια παραθέσεως νομίζομεν καὶ ἃ ἔγραψεν ὁ ἐνδοξότατος κριτικὸς ἐν Μνημ. 1859, σελ. 158 «Contra Graecitatis usum scribitur pag 82 «νόμοι ὑμῖν εἰσίν, εἰ μὲν τὸ νόμισμα παραφθείροι τις αὐτὸν καὶ παιδίον εἴ τις παρεγγράφοιτο, ubi in libris est παραγράψαιτο vel παρεγγράψοιτο, sed emendandum est παρεγγράψαι et paulo ante παραφθεῖραι. Necessarius enim in talibus est *aoristus*: si quis nummos *adulteraverit*, non *adulteret*. Praeterea quis nescit in ea re ἐγγράφειν et παρεγγράφειν usitata esse, non ἐγγράφεσθαι et παρεγγράφεσθαι? Ne putes Philostratum a communi omnium usu descivisse inspice locum pag. 369: γυναῖκά τε ἀντειπεῖν καὶ παῖδας ἐξ αὐτῆς ἐγγράψαι».

Σημειωτέον δ' ὅτι παρὰ μὲν τῷ Αἰσχίνῃ περὶ Παραπρεσβ. 177 πρὸς τῇ ὑγιῶς ἐχούσῃ γραφῇ παρέγγραπτοι φέρεται καὶ ἡ ἡμαρτημένη παράγραπτοι, παρὰ δὲ τῷ Ἁρποκρατίωνι σελ. 93, 17 Δινδ. ἄλλα μὲν τῶν ἀντιγράφων ἔχουσι τὸ ὀρθὸν «εἰ τῷ ὄντι πολίτης καὶ δημότης ἐστὶν ἢ παρεγγέγραπται ξένος ὤν», ἄλλα δὲ τὸ πλημμελὲς παραγέγραπται. Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Παραγεγραμμένος: ὁ μὴ κατὰ νόμον τοῖς πολίταις (ἐν)τεταγμένος, δημοποίητος» καὶ «Παρέγγ[γε]γραπτος: νόθος, παραγεγραμμένος» καὶ «Παρεγγραφέντων: ῥᾳδιουργηθέντων» ἀντὶ τοῦ παρεγγεγραμμένος. Τὴν ὀρθὴν γραφὴν βλέπει τις ἐν τῷ Λεξικῷ τοῦ Φωτίου σελ. 392-3 «Παρέγγραπτον: νόθον» καὶ «Παρεγγεγραμμένος: ὁ μὴ ἀστός» καὶ «Παρεγγράπτους: ξένους, νόθους». Πρβ. καὶ Σουίδ. σελ. 825 Βεκκ. καὶ Ἐτυμ. Μέγ. σελ. 654, 37. Παρατηρητέον δ' ὅτι καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις ἀνεγνώσθη κακῶς παραγεγραμμένον ἀντὶ τοῦ παρεγγεγραμμένον σελ. 313, 52 Διδ. «τάχα δ' ἂν οὗτος εἴη, ὃν καὶ παραγεγραμμένον λέγουσιν».

Τὴν ὀρθὴν γραφὴν ἀποκατέστησεν ὁ Δοβραῖος ἐν *Advers.* Τόμ. Β', σελ. 176 «παραγεγραμμένον: Lege παρεγγεγραμμένον *Falso inscriptus civis*». Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Norden γεγραμμένα ἐν τῷ Ἑρμῇ 1892, σελ. 631 «(Schol. in Greg. Naz. orat.) Ο 243r παρέγγραπτος ὁ παρὰ τὸ προσῆκον γεγραμμένος, ὁ νόθος· ἢ παρ' ὅσον τὰ μὲν ὁμόλογα καὶ ἀναμφήριστα ταῖς γραφαῖς ἐν ταῖς σελίσιν εἴσω, τὰ δ' ἄλλως ἐν ὑπονοίαις πεσόντα τῶν λόγων καὶ μὴ τὸ βέβαιον ἔχοντα ἔξω παρεγγράφεσθαι εἴωθεν. Cf. Hesych. παρέγγραπτος· νόθος, παραγεγραμμένος». Ὀρθῶς ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου εἶνε ὑπὸ τοῦ Σμιδιτίου ἐκδεδομένον Τόμ. Γ', σελ. 279 «Παρέγγραπτος: νόθος, παρεγγεγραμμένος».

Παρατηροῦμεν προσέτι ὅτι ὑπάρχει καὶ ἐπίθετον παρέγγραφος ἀπαντῶν παρὰ τῷ Ἀθηναίῳ σελ. 180, ϛ' «ἡ τῶν ἀκροαμάτων εἰς τὸ σῶφρον τοῦτο συμπόσιον εἰσαγωγὴ παρέγγραφός ἐστιν ἐκ τοῦ Κρητικοῦ χοροῦ μετενηνεγμένη» καὶ σελ. 211, ϛ' «καὶ ἀποθανόντα κληρονομήσας παρέγγραφος Ἀθηναίων πολίτης ἐγένετο». Πρβ. καὶ ἀπαράγραφος καὶ δυσπαράγραφος, κτλ.

Ὡς δ' ἀνεγνώσθη πλημμελῶς παρὰ Γεωργίῳ τῷ Κεδρηνῷ παράγραπτος ἀντὶ τοῦ παρέγγραπτος, οὕτω τοὐναντίον ἀπαρέγγραπτος ἀντὶ τοῦ ἀπαράγραπτος παρὰ Νικηφόρῳ τῷ Γρηγορᾷ Τόμ. Β', σελ. 580, 16 «μάρτυς ἀπαρέγγραπτος Ἄννα ἡ βασιλὶς αὕτη». Μαρτύρια τοῦ ὀρθῶς ἔχοντος ἀπαράγραπτος μάρτυς βλέπει τις ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', β', σελ. 1184.

Πολλὰ ῥήματα φέρονται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ συγκείμενα μετὰ τῆς ΠΑΡΑ προθέσεως σημαινούσης τὸ παρὰ τὸ προσῆκον ἢ τὸ πρέπον, τὸ παρὰ τὸ εἰκὸς ἢ τὸ νενομισμένον, τὸ κακῶς ἢ πλημμελῶς ἢ διαστρόφως, τὸ δολίως ἢ πανούργως ἢ λάθρα, κτλ., οἷον παρακόπτω, παραχαράττω, παραποιῶ, παρανοῶ παρακούω, παραισθάνομαι, παραφθέγγομαι, παραλογίζομαι, παραλαλῶ, παραλέγω, παριστορῶ, παρερμηνεύω, παρεξηγοῦμαι, παρεκδέχομαι, παραδιορθῶ, παραναλίσκω, παρεισδύομαι, παρεισφθείρομαι, κτλ. Πρβ. καὶ παράκουσμα, παράφθεγμα, κτλ., ἔτι δὲ παραβλώψ. Λέγεται δὲ καὶ ἐν τῇ κοινῇ ἡμῶν γλώσσῃ παρακούω, παραμιλῶ, παράειδα, παραπατῶ.

Ἄξιον παρατηρήσεως ὑπάρχει ὅτι κεῖται παρὰ τῷ Γαληνῷ Τόμ.

Ζ', σελ. 894 «τοῦτο μὲν δὴ χρήσιμόν ἐστι μεμνῆσθαι πρὸς πολλὰς τῶν ἀσαφῶν ῥήσεων, ἐν αἷς ἤτοι παραλελεῖφθαί τι πιθανόν ἐστιν ἢ παραγεγράφθαι· οὐδὲν γὰρ κωλύει κατ' ἐκείνας ἤτοι τὸ λεῖπον προστιθέντας ἢ τὸ ἡμαρτημένον ἐπανορθοῦντας ἀπεργάζεσθαι τέλεόν τε καὶ ἀληθῆ τὸν λόγον». Ἐξηγεῖται δὲ τὸ παραγεγράφθαι ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1885, σελ. 253 διὰ τοῦ «*mendose scriptum esse*». Φέρεται δὲ παρὰ τῷ Γαληνῷ καὶ Τόμ. ΙΖ', β'. σελ. 89 «Ταῦτα μὲν οὖν ἀληθῶς τε ἅμα καὶ σαφῶς εἰρημένα τῷ Ἱπποκράτει κακῶς ἐξηγήσαντο διὰ τὴν τῶν πραγμάτων ἄγνοιαν ὑπὲρ ὧν ὁ λόγος ἐστὶν αὐτῷ. Τὰ δ' ἐφεξῆς οὐχ ὁμοίως ὄντα σαφῆ, τάχα δὲ καὶ παραγεγραμμένα, σαφῆ τ' εἶναι νομίζουσι, καίτοι διαφωνοῦντες ἐν ταῖς ἐξηγήσεσιν αὐτῶν οὐδὲν ἧττον ἢ κατὰ τὰς πρόσθεν, ὑπαλλάττουσί τε τὰς παλαιὰς γραφάς», ὃ ἐξελήφθη ἀντὶ τοῦ παρεγγεγραμμένα ἐν τῇ Λατινικῇ μεταφράσει «et fortasse adjectitia».

ΚΕΦ. ΙΒ'.

Οὐδέποτε ἐλέχθη ὑπὸ παλαιοῦ Ἕλληνος **ἀπεχθάνομαί τινα.**

Ὁ Ἀσώπιος γράφει ἐν τῇ Β' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 335 § 18 «Καὶ παθητικὰ ἀποθετικὰ ὀλίγα εἶναι, ὡς καὶ οὐδέτερα· ἵνα μή μοι ἀπέχθηαι φιλέοντι (Ἰλ. Ι, 614)=ἀπεχθὴς γένῃ, μισηθῇς.—φοβούμενοι τὸ ἀπεχθάνεσθαι τοῖς στρατιώταις (Ξ). —ἀπηχθάνοντο τοῖς Ἕλλησιν (Ἰσ)—ἀλλήλοις ἀπεχθάνεσθαι (Πλ)» καὶ § 20 «Αἱ ἐπὶ τῶν εἰς ω παρατηρηθεῖσαι συντακτικαὶ ποικιλίαι γίνονται καὶ ἐπὶ τούτων τῶν εἰς μαι, τῶν ἀποθετικῶν· ἐπεξελθεῖν τῷ πράγματι (Πλ.)=ἐπιχειρῆσαι.—δι' ὅλου τοῦ ᾄσματος ἐπεξέρχεται τῷ τοῦ Πιττακοῦ ῥήματι (Πλ.)=ἀντιφέρεσθαι.—ἐάν τις ἐπεξέλθῃ πᾶσαν τὴν περίοδον (Πλ.)—ἄγασθαί τινι καὶ ἀγασθέντες τῷ ἔργῳ (Πλ.)—ἀπεχθάνεσθαί τινι =μισεῖσθαι.—ἀπεχθάνεσθαι πρὸς τὴν ἡγεμονίαν (Πλούτ.)= ἀπεχθῶς ἔχειν, δυσμενεῖς εἶναι.—δι' ὧν ἀπεχθάνονται ἡμᾶς οἱ ἄνθρωποι (Ξ)=μισοῦσιν. Ὡσαύτως καὶ οἶδα γὰρ ὥς μοι ὀδώδυσται κλυτὸς Ἐννοσίγαιος (Ὀδ. Ε, 423)=κεχόλωται.—τί

νύ οἱ τόσον ὠδύσαο Ζεῦ; ('Οδ. Α, 62) καὶ ὠδύσατο Ζῆνα ξένιον Ἡρόδ. Ὁμ. Γεν. 17) = ἠτίμασε. Διαφωνοῦσι δὲ περὶ τοῦ πολλοῖσιν ὀδυσάμενος ('Οδ. Τ, 407), εἰ = μισηθείς, ὡς ὁ Εὐστάθιος, ἢ = πολλοῖς δι' ὀργῆς προσφερθεὶς ἤτοι δυσμενῶς. Παρὰ τῷ σχολιαστῇ· «μισηθείς· ἢ ὀργὴν ἀγαγών· ἢ βλάψας.» Τὸ μισηθεὶς εἶναι φυσικὴ συνέπεια τοῦ δυσμενῶς προσφερθείς· διότι ὁ πολλοὺς βλάπτων παρὰ πολλῶν μισεῖται». Ἀντὶ τοῦ Ἡρόδοτος γραπτέον Ψευδηρόδοτος. Χαριέστατον δ' εἶνε τὸ προσφερθείς, ᾧ ὅμοια τὸ προφερθείς καὶ περιφερθείς - συμπεριφερθείς καὶ μεταφερθείς καὶ καταφερθείς καὶ ἐκφερθείς καὶ εἰσφερθείς καὶ διαφερθείς.

Λέγει δὲ καὶ Σκαρλᾶτος ὁ Βυζάντιος ἐν τῷ ὑπ' αὐτοῦ συντεθέντι Λεξικῷ τῆς Ἑλλ. Γλώσσης σελ. 143 (1852) «Ἀπεχθάνομαι, Μ. ἐχθήσομαι (ἀόρ. Ἀπηχθόμην, πρκ. Ἀπήχθημαι). (μὲ δοτ. καὶ **σπαν.** αἰτιατ.) Εἶμαι (Γίνομαι) μισητός. Ἀλλήλοις ἀπεχθάνεσθαι. Πλάτ. Λόγος ἀπεχθανόμενος, Ξεν. 2 (μὲ αἰτ. προθετ.) εἶμαι ἢ γίνομαι ἐχθρός, μισῶ. Πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο, Πλ.».

Σημειοῦται δὲ καὶ ὁ Βασιάδης ἐν τῇ ἐκδόσει Λόγων τοῦ Δημοσθένους σελ. 345 «ἀπέχθωμαι: τὸ μὲν ἐνεργητικὸν ἀπεχθάνω, εἴ τι ἐσώζετο, ἐσήμαινε ποιῶ τινα ἀπεχθῆ, τὸ δὲ ἀπεχθάνομαί τινι ποιῶ ἐμαυτὸν ἀπεχθῆ τινι, τὸ δὲ ἀπεχθάνομαί τινα ποιῶ ἐμαυτῷ τινα ἀπεχθῆ» Πρβ. Ὀλυνθ. Α. § 18: παραστήσεται. Πλ. Ἀπολ. σελ 24. καίτοι οἶδα σχεδόν, ὅτι τοῖς αὐτοῖς ἀπεχθάνομαι».

Τὸ ῥῆμα ἀπεχθάνομαι εἶνε παλαιότατον ἁπάντων καὶ ἐν τῇ Ὀδυσσείᾳ Β, 202 «ἀπεχθάνεαι δ' ἔτι μᾶλλον. « Εὑρίσκεται ἄλλοτε μὲν καθ' ἑαυτὸ ἐν τῷ λόγῳ κείμενον, ἄλλοτε δὲ δοτικῇ συντεταγμένον· ἐλέχθη δὲ καὶ «κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, γύναι, ἢ κτέ» ὑπὸ τοῦ Εὐριπίδου ἐν τῇ Μηδείᾳ στ. 290. Οὐδεὶς δὲ τῶν ἀρχαίων Ἑλλήνων ἐχρήσατο τῇ ἐκφορᾷ ἀπεχθάνομαί τινα.

Ἐφέρετο μὲν ἄλλοτε ἐν τῷ Ἱέρωνι τοῦ Ξενοφῶντος Η', 8 «ὅτι νὴ Δι', ἔφη, ὦ Σιμωνίδη, καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς, πολὺ πλείω τῶν ἰδιωτῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι», ἤγουν «ἐξ ὧν οἱ ἄνθρωποι μισοῦσιν ἡμᾶς», ἀλλὰ πρὸ πολλοῦ ἀνεγνώσθη ὑπὸ τοῦ Οὐεισκίου, ἐπανορθώσαντος τὴν περὶ τὴν στίξιν πλημμέλειαν, «καὶ ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι, ἡμᾶς πολὺ πλείω τῶν ἰδιω-

τῶν ἀνάγκη ἐστὶ πραγματεύεσθαι», τουτέστιν «ἐξ ὧν ἀπεχθεῖς (ἢ μισητοὶ) γίνονται οἱ ἄνθρωποι». Διδάσκεται δὲ τὸ ὀρθὸν καὶ ἐν τῷ τοῦ Ἀνθίμου Γαζῆ Λεξικῷ τῆς Ἑλληνικῆς Γλώσσης Τόμ. Α', σελ. 231 (1835) «ἀναφέρεται ἔτι ἐκ Ξενοφ. Ἱέρ. Η'. Ἀπεχθάνεσθαί τινα· ἀντὶ τοῦ, μισεῖν, ἐχθρεύεσθαι. Ἐξ ὧν ἀπεχθάνονται οἱ ἄνθρωποι ἡμᾶς· ἀλλὰ τὸ, Ἡμᾶς, ἀνήκει εἰς το ἑπόμενον, Πραγματεύεσθαι». Ἐπίμεμπτος δὲ φαίνεται ὁ Ἀσώπιος, διότι ἀγνοῶν τὴν ὀρθὴν τοῦ περὶ οὗ ὁ λόγος χωρίου στίξιν, ἣν ὤφειλε πάντως νὰ γινώσκῃ, ὑπελάμβανεν ὅτι συντάξας ὁ Ξενοφῶν τὸ ῥῆμα ἀπεχθάνονται αἰτιατικῇ πτώσει εἶπε «ΔΙ' ὧν ἀπεχθάνονται ἡμᾶς οἱ ἄνθρωποι».

Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Α', β', σελ. 1302, Β' λέγεται «In Bachm Anecd. vol. 2, p. 304, 20, quod ponitur: Ἀπεχθάνομαί σε, alienum a veteribus». Τῆς μετ' αἰτιατικῆς συντάξεως τοῦ ῥήματος ἀπεχθάνομαι φέρομεν παράδειγμα τὸ κείμενον ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 85, 5 «ὃν οἱ στρατιῶται, ἀπεχθανόμενοι τὸ σῶφρον, εἰσδραμόντες ἐν τῇ βασιλικῇ κτείνουσιν οἰκίᾳ».

Ἄξιον παρατηρήσεως εἶνε ὅτι οὐκ ὀλίγοι τῶν μεταγενεστέρων ποιοῦνται χρῆσιν τοῦ ἀπεχθάνομαί τινι ἐπ' ἐνεργητικῆς σημασίας, οἷον

Ἀντιφάν. ἐν Ἀνθολογ. Παλατ. Θ', 84 «Νηὸς ἁλιστρέπτου πλαγκτὸν κύτος εἶδεν ἐπ' ἀκτῆς μηλοβότης, βλοσυροῖς κύμασι συρόμενον, χεῖρα δ' ἐπέρριψεν· τὸ δ' ἐπεσπάσατ' ἐς βυθὸν ἅλμης τὸν σῴζονθ'· οὕτως πᾶσιν ἀπηχθάνετο» («adeo cunctis hostilem habuit animum»).

Πλούτ. Ἠθ. σελ. 426,Δ' «οὐ γὰρ ἀπεχθάνεται μεταβολαῖς, ἀλλὰ καὶ πάνυ χαίρει τὸ θεῖον» καὶ σελ. 550, Δ' «ὅπως ὑπὸ θέας τῶν ἐν οὐρανῷ φερομένων καὶ θαύματος ἀσπάζεσθαι καὶ ἀγαπᾶν ἐθιζομένη τὸ εὐσχημον ἡ ψυχὴ καὶ τεταγμένον ἀπεχθάνηται τοῖς ἀναρμόστοις καὶ πλανητοῖς πάθεσι καὶ φεύγῃ τὸ εἰκῇ καὶ ὡς ἔτυχεν» καὶ σελ. 1095, Ε' «Ἀθηναίων γὰρ οὐδενὶ πρέπει ταῖς Μούσαις οὕτως ἀπεχθάνεσθαι καὶ πολεμεῖν» καὶ σελ. 1102, Β' «οὕτω γὰρ Ἐπίκουρος οἴεται δεῖν σχηματίζεσθαι καὶ μὴ φθονεῖν μηδ' ἀπεχθάνεσθαι τοῖς πολλοῖς» καὶ σελ. 1127, Ε' «τοὺς μὲν συνήθεις ἀποτρέποντες τοῦ τὰ κοινὰ πράττειν, τοῖς δὲ πράττουσιν ἀπεχθανόμενοι, τοὺς δὲ πρώ-

τους καὶ σοφωτάτους τῶν νομοθετῶν κακῶς λέγοντες» καὶ Βρούτ. Α΄ «καὶ τοὺς ἀπεχθανομένους αὐτῷ διὰ τὴν ἐπὶ Καίσαρα συνωμοσίαν» καὶ Μάρκ. Κάτ. ΚΓ΄ «ὁ δ' οὐ μόνον ἀπηχθάνετο τοῖς φιλοσοφοῦσιν Ἑλλήνων, ἀλλὰ καὶ τοὺς ἰατρεύοντας ἐν Ῥώμῃ δι' ὑποψίας εἶχε». Πρβ. καὶ Ἠθ. σελ. 537, Β΄ «μισοῦσι δ' ἄλληλα καὶ ἀπεχθάνονται καὶ πολεμοῦσιν ὥσπερ ἀσπείστους τινὰς πολέμους ἀετοὶ καὶ δράκοντες».

Αἰλιαν. Περὶ Ζῴ. Α΄, 58 «ἀπεχθάνονται δὲ ἄρα αἱ μέλιτται κακοσμίᾳ πάσῃ καὶ μύρῳ ὁμοίως» καὶ Ποικίλ. Ἱστορ. Β΄, 21 «ἤρετο ἄρα τὸν Ἀγάθωνα ὁ Ἀρχέλαος τί βουλόμενος οὕτω πυκνὰ ἀπεχθάνεται τῷ πάντων μάλιστα φιλοῦντι αὐτόν;».

Φιλόστρ. Τόμ. Α΄, σελ. 100, 4 Καυσ. «καὶ τοιόσδε ὢν ἀπεχθάνεται τῇ φιλοσοφίᾳ» καὶ σελ. 233, 29 «οἱ δὲ καίτοι ξενηλασίαις χρώμενοι διεφθάρησαν τὰς ἐπιτηδεύσεις καὶ οἷς μάλιστα τῶν Ἑλλήνων ἀπήχθοντο, τούτοις ὅμοια πράττειν ἔδοξαν» καὶ Τόμ. Β΄, σελ. 148, 6 «μοιχοῖς δὲ οὔτε προσδιαλέγεται οὐδὲν οὔτε ὑποτίθεταί τι ἐρωτικόν· φησὶ γὰρ ἀπηχθῆσθαι αὐτοῖς, ἐπειδὴ τὸ ἐρᾶν διαβάλλουσιν» καὶ σελ. 366, 29 «ᾠὰ γὰρ τῆς γλαυκὸς εἰ φάγοι παιδίον νήπιόν τε καὶ ἄοινον, ἀπεχθάνεται τῷ οἴνῳ πᾶσαν τὴν ἡλικίαν».

Παυσαν. Μεσσην. ΛΔ΄, 10 «διαβάντες δὲ ὕστερον ναυσὶν ἐς Πελοπόννησον γενέσθαι φασὶν Εὐρυσθέως ἱκέται καί σφισιν Εὐρυσθέα ἅτε ἀπεχθανόμενον τῷ Ἡρακλεῖ δοῦναι τὴν ἐν τῇ Ἀργολίδι Ἀσίνην» καὶ Ἠλ. Β΄, κβ΄, 2 «Πισαῖοι δὲ ἐφειλκύσαντο αὐθαίρετον συμφορὰν ἀπεχθανόμενοί τε Ἠλείοις καὶ σπουδὴν ποιούμενοι τιθέναι τὸν Ὀλυμπικὸν ἀγῶνα ἀντὶ Ἠλείων».

Ἰώσηπ. Τόμ. Β΄, σελ. 130, 12 Νισ. «τῷ σαυτοῦ παιδὶ πρῶτον καταλλάγηθι καὶ τὴν πρὸς αὐτὸν ὀργὴν ἄφες· πῶς γὰρ ἂν πεισθείην ἐμοί σε ταύτην ἀληθῶς δεδωκέναι τὴν χάριν αὐτοῦ σοῦ μέχρι νῦν ἐφ' ὁμοίοις ἀπεχθανομένου τῷ παιδί;» καὶ Τόμ. Γ΄, σελ. 18, 18 «ταῦτα δὲ ποιοῦντες οὐκ ἦσαν ἐν ἡδονῇ τοῖς προσχωρίοις ἔθνεσιν πάντων αὐτοῖς ἀπεχθανομένων» καὶ σελ. 20, 15 «τῆς δὲ βοῆς τῶν σαλπίγγων ἀκούσαντες οἱ Σαμαρεῖται, ἐτύγχανον γὰρ ἀπεχθανόμενοι τῇ τε Ἰούδα φυλῇ καὶ τῇ Βενιαμίτιδι, συνέδραμον τὴν αἰτίαν τοῦ θορύβου μαθεῖν θέλοντες» καὶ σελ. 44, 19 «καὶ γὰρ φύσει τοῖς Ἰουδαίοις ἀπηχθάνετο ὅτι καὶ τὸ γένος τῶν Ἀμαληκιτῶν, ἐξ ὧν ἦν αὐ-

τός, ὑπ' αὐτῶν διέφθαρτο» καὶ σελ. 175, 7 «Ἀντιοχεῖς δὲ μισοῦντες τὸν Δημήτριον ὑπὲρ ὧν πεπόνθεσαν ὑπ' αὐτοῦ κακῶς, ἀπεχθανόμενοι δ' αὐτῷ καὶ διὰ τὸν πατέρα Δημήτριον πολλὰ εἰς αὐτοὺς ἐξαμαρτόντα, καιρὸν ἐπετήρουν λαβεῖν καθ' ὃν ἐπίθοιντο αὐτῷ».

Φίλ. Ἰουδ. Τόμ. Γ', σελ. 191 «εἰκότως τοῖς τὰ συμφέροντα ἀπεχθάνονται εἰσηγουμένοις» καὶ Τόμ. Ϛ', σελ. 142 «τοσαύτη μὲν οὖν τις περὶ τὸ ἦθος ἀνωμαλία πρὸς ἅπαντας, διαφερόντως δὲ πρὸς τὸ Ἰουδαίων ἔθνος, ᾧ χαλεπῶς ἀπεχθανόμενος, τὰς μὲν ἐν ταῖς ἄλλαις πόλεσι προσευχὰς ἀπὸ τῶν κατ' Ἀλεξάνδρειαν ἀρξάμενος σφετερίζεται κτέ.».

Σώπατρ. παρὰ Στοβ. Ἀνθολ. Τόμ. Β', σελ. 226,2 Μειν. «ἀνεξίκακον δὲ ὁμοῦ καὶ μισοπόνηρον σεαυτὸν ἐπιδείκνυε, τῷ μὲν ἠρέμα κολάζειν τὴν ἀνεξικακίαν, τῷ δ' ἀπεχθάνεσθαι τοῖς κακοῖς τὴν μισοπονηρίαν ἐλέγχων».

Ἀλκίφρ. Ἐπιστολ. Γ',11 «οὐκέτι σοι μέλει οὔτε τῆς εὐνῆς ἡμῶν οὔτε τῶν κοινῶν παιδίων οὔτε μὴν τῆς κατ' ἀγρὸν διατριβῆς, ὅλη δὲ εἶ τοῦ ἄστεος, Πανὶ μὲν καὶ Νύμφαις ἀπεχθανομένη, ἃς ἐπιμηλίδας ἐκάλεις κτέ.» καὶ 58, 3 «ἀνάγκη δὲ τὸν διαβολὰς μὴ προσιέμενον τοῖς διαβάλλουσιν ἀπεχθάνεσθαι».

Θεμίστ. Λόγ. σελ. 10, 21 Δινδ. «καὶ ποίμνιον ἐκεῖνο εὔκολον τοῖς λύκοις, ὅτῳ ὁ ποιμὴν ἀπεχθάνοιτο, καὶ αἰγῶν ἀτύχημα νέμεσθαι ὑπὸ μισοῦντος». Πρβ. καὶ σελ. 389, 14 «εἰ δὲ ἀμετάστατα καὶ ἀνήκεστα, λοιδορείσθω καὶ ἀπεχθανέσθω καὶ πολεμεῖν καὶ λοιδορεῖν ἕτοιμός ἐστιν κτέ.»· σημειοῦται δ' ὁ ἐκδότης «λοιδορείσθω καὶ ἀπεχθανέσθω: Fortasse λοιδορεῖσθαι καὶ ἀπεχθάνεσθαι, deletis proximis verbis καὶ πολεμεῖν καὶ λοιδορεῖν» (Πρβ. καὶ σελ. 695).

Ὠριγέν. Τόμ. Κ', σελ. 73 «πρὸς ταῦτα δ' ἡμεῖς φήσομεν οἱ μελετήσαντες μηδενὶ ἀπεχθάνεσθαι τῶν καλῶς λεγομένων». Πρβ. Τόμ. ΙΘ', σελ. 75 «εἶτα, ὡς εἰς τὸ μισεῖν μόνον καὶ ἀπεχθάνεσθαι τῷ κατ' Ἰουδαίους καὶ χριστιανοὺς λόγῳ ἑαυτὸν ἐπιδεδωκώς, φησὶν κτέ.» καὶ σελ. 327 «εἰ δὲ μὴ μετὰ τοῦ μισεῖν καὶ ἀπεχθάνεσθαι ἐντυχὼν τοῖς εὐαγγελίοις φιλαλήθης ἦν ὁ Κέλσος, ἐπέστησεν ἂν κτέ.».

Εὐσέβ. Ἐκκλησ. Ἱστορ. Ζ', 8 «Νοουατιανῷ μὲν γὰρ εὐλόγως ἀπεχθανόμεθα, διακόψαντι τὴν ἐκκλησίαν καί τινας τῶν ἀδελφῶν εἰς ἀσεβείας καὶ βλασφημίας ἑλκύσαντι».

Ἐπιφάν. Τόμ. Α΄, σελ. 325,15 Δινδ. «ἀπεχθάνεται δὲ τῇ παρθενίᾳ, μισεῖ δὲ τὴν ἐγκράτειαν, ἀναγκάζει δὲ γάμον». Σημειωτέον δ' ὅτι ἐν τῇ Ἐπιτομῇ τῆς κατὰ τῶν Αἱρέσεων βίβλου τοῦ Ἐπιφανίου σελ. 352, 25 φέρεται «ἀπεχθανόμενος παρθενίΑΝ καὶ μισῶν ἐγκράτειαν καὶ γαμεῖν ἀναγκάζων».

Θεοδώρητ. Τόμ. Α΄, σελ. 441 «εἰ δὲ καὶ ὁ νόμος ἐπέτρεπε τὸν ἀπεχθανόμενον τῇ γυναικὶ βιβλίον ἀποστασίου διδόναι, ἀλλ' ἐνταῦθα οὐ μῖσος ἐχώριζεν ἀλλ' ἡ τοῦ παιδὸς παράνομος συνουσία» καὶ Τόμ. Δ΄, σελ. 219 «εἰ λίαν οὕτω ταῖς θείαις φωναῖς ἀπεχθάνεσθε, αἳ τὸ μέγα κηρύττουσι τῆς οἰκονομίας μυστήριον, τί δήποτε κτέ.» καὶ σελ. 1021 «οὐ γὰρ τοῖς πονηροῖς ἀπεχθάνεσθε, ἀλλὰ τὸν ἀξιέπαινον διαβάλλετε βίον».

Σωζομεν. Ἐκκλησ. Ἱστορ. σελ. 84 Οὔσσ. «οἱ δέ, προσφάτως ἀπόλλυσθαι τῆς Ἑλληνικῆς θρησκείας ἀρχομένης, ἀπεχθανόμενοι τοῖς χριστιανοῖς τὴν περὶ τοῦ δόγματος ζήτησιν εἰς ἔριδας λόγων ἐνέβαλλον» καὶ σελ. 162 «καὶ τοὺς ἐναντιουμένους ἢ ἀπεχθανομένους αὐτῷ ἀπεστρέφετο» καὶ σελ. 262 «ἐπιτραπεὶς τὴν τοῦ Μαρεώτου ἐπισκοπὴν πρὸς τῶν Ἀθανασίῳ ἀπεχθανομένων» καὶ σελ. 354 «ἓν τοῦτο μόνον ἔργον ἀγαπῶντες, τὸ τοῖς καλοῖς ἀπεχθάνεσθαι διηνεκῶς» καὶ σελ. 442 «εἰ μὲν πρὸς ἑλληνισμὸν τετραμμένας ἔγνω, προτρέπων αἰτεῖν ἃς βούλονται δωρεάς· ταῖς δὲ χριστιανιζούσαις προφανῶς ἀπηχθάνετο, μήτε ἐπιδημεῖν αὐτὸς ἀνεχόμενος μήτε πρεσβευόντων περὶ τῶν λυπούντων τὰς πρεσβείας δεχόμενος» καὶ σελ. 445 «ἐπεὶ δὲ καὶ τὸ τῆς Τύχης, ὃ μόνον περιελείφθη, αὐτοῦ βασιλεύοντος, πρὸς τῶν χριστιανῶν ἀνετράπη, δεινῶς ἀπηχθάνετο πάσῃ τῇ πόλει καὶ ἐδυσφόρει» καὶ σελ. 517 «ἀλλ' ὅτι μίσους ἀσπόνδως πρὸς αὐτοὺς εἶχον οἱ Ἰουδαῖοι, καὶ τῇ πρὸς τούτους θεραπείᾳ λυπεῖν ἐσπούδαζεν οἷς ἀπηχθάνετο» καὶ σελ. 660 «ἔτι μᾶλλον ἐπεδίδου τοῖς ἑτέρως αὐτῷ περὶ τὸ θεῖον δοξάζουσιν ἀπεχθανόμενος καὶ χαλεπῶς τούτους ἐπέτριβε καὶ ἤλαυνεν» καὶ σελ. 821 «ἐπῃτιᾶτο Θεόφιλος τὸν τότε ἀρχιπρεσβύτερον· ἀπηχθάνετο γὰρ αὐτῷ καὶ ἄλλως» καὶ σελ. 835 «σπουδῇ δὲ μάλιστα συνήεσαν ὅσοι τε τῶν ἐν Ἀσίᾳ τῆς ἐπισκοπῆς ἀφῄρηντο παρὰ Ἰωάννου καὶ ὅσοι ἄλλοθεν ἄλλως αὐτῷ ἀπηχθάνοντο» καὶ σελ. 837 «ἐπεὶ δὲ πολλοὺς ἔγνω Ἰωάννῃ ἀπεχθάνεσθαι καὶ κατηγορεῖν ἑτοίμως, προδιαθεὶς τὰ ἄλλα—ἧκεν εἰς Δρῦν» καὶ σελ.

851 «καὶ μαρτυρόμενοι τῶν ἀπεχθανομένων Ἰωάννῃ τὴν ἐπιβουλὴν καὶ τὸν φονέα καὶ τοὺς ἐπὶ τοῦτο ἀναπείσαντας ἐπεβόων τιμωρίαν δοῦναι» καὶ σελ. 874 «οἱ δὲ ἐπὶ Κωνσταντινουπόλεως ἀπεχθανόμενοι Ἰωάννῃ, ὡς ἐπὶ ὕβρει τῆς ἐνταῦθα βασιλείας τούτων γενομένων, διαβολὴν κατεσκεύασαν». Πρβ. καὶ σελ. 731 «οὐ προσίετο τὸν Εὐτύχιον ὁ προεστὼς τῆς ἐν Κωνσταντινουπόλει αἱρέσεως, ὑπὸ ζηλοτυπίας ἀπεχθανόμενος, ὅτι μηδὲ κληρικοῦ ὄντος ἐναντίος εἶναι σπουδάζων τοῖς αὐτοῦ λόγοις, οὐχ οἷός τε ἦν διαλύειν τὸ πρόβλημα».

Θεόδωρ. Πρόδρ. Ζ', 420 «κἄν τις μικρὸν βοῦν βουθυτῶν, ἔφη, θύῃ, πάντως ἀπεχθάνοιντο τῷ τεθυκότι».

Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α', σελ. 275, 12 «τοὺς θεοὺς προσκειμένους τοῖς σώφροσιν, ἀπεχθανομένους δὲ τοῖς τὰς ἡδονὰς προτιμήσασιν».

Ζωναρ. Ἐπιτομ. Ἱστορ. Τόμ. Γ', σελ. 344, 22 Διν͂δ. «οἵ τε γὰρ τοῦ δήμου καὶ οἱ τῆς γερουσίας, ἀλλὰ μέντοι καὶ τὸ στρατιωτικόν, ἀπεχθανόμενοι τῷ Κωνσταντίνῳ, ὡς εἴρηται, τῷ Ἀρταβάσδῳ ὀρθοδόξῳ τυγχάνοντι τὴν βασιλείαν ἐπεψηφίζοντο» καὶ σελ. 391, 4 «διὸ καὶ τῷ λόγῳ ἀπήχθετο, ὡς εἰς ἀνατροπὴν ὄντι τῆς κακοδοξίας αὐτοῦ» καὶ Τόμ. Δ', σελ. 143, 3 «ἀδικώτατοι ὄντες καὶ φιλοχρηματώτατοι, οἷς διὰ ταῦτα καὶ ὁ βασιλεὺς ἀπηχθάνετο» καὶ σελ. 163, 19 «πρὸς ὃν ὁ βασιλεὺς οὔτε ὡς αὐτῷ προσήκοντα διετέθειτο, ἀλλὰ μέντοι καὶ ἀπηχθάνετο τῷ ἀνδρί». Πρβ. Τόμ. Β', σελ. 450, 11 «ἐπεὶ μηδὲ φιλοῦσιν ὅτι ἐδικαιώθησαν ἕτεροι, ἀλλ' ἀπεχθάνονται μᾶλλον ὅτι φόβος καὶ αὐτοῖς ἐντεῦθεν ἐπήρτηται» καὶ Τόμ. Γ', σελ. 231, 8 «οἴει δὲ τὸν θεὸν τοὺς τὸν ἐκείνου μονογενῆ παῖδα βλασφημοῦντας μὴ βδελύττεσθαί τε καὶ ἀπεχθάνεσθαι μηδ' ὀργίζεσθαι κατὰ τῶν ἐκχωρούντων ἐκείνοις τοῖς ὀρθοδόξοις συναναστρέφεσθαι καὶ διαφθείρειν πολλούς;».

Θεοφύλ. Σιμόκ. σελ. 17 Βοισσον. (καὶ Μιχ. Γλυκ. σελ. 71, 10 Βόνν.) «ὁ γοῦν πολύπους τῇ Ποντικῇ θαλάττῃ ἀπεχθάνεται» καὶ σελ. 22 «φασὶ τοὺς Αἰγυπτίους τοῖς τῶν ἴβεων ᾠοῖς ἀπεχθάνεσθαι καὶ ταῦτα διαθλᾶν» καὶ σελ. 59 «λίαν ἡμῖν οἱ Ἔρωτες ἀπεχθάνονται· ἐγὼ μὲν ἐρῶ, ἀλλ' ἡ ποθουμένη μισεῖ». Ἐρρήθη δ' ὑπὸ τοῦ Σιμοκάττου καὶ «Χοσρόου τοῦ Περσῶν βασιλέως ἀπεχθανομένου τῷ πολεμάρχῳ Ναρσῇ» Ἱστορ. σελ. 345, 23 Βόνν.

Μιχ. Ψελλ. Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ', σελ. 207 «τῷ δέ γε πατριάρχῃ ξυμπάσης τῆς οἰκουμένης—καίτοι τὸν πρὸ τῆς αὐτοκρατορίας χρόνον οἰκειότατα προσκειμένη καὶ σεβομένη, ἐπειδὴ καθαρώτερον βεβασιλεύκει, ἀπεχθάνετό τε (γρ. ἀπηχθάνετό τε) καὶ ἀπεστρέφετο» καὶ σελ. 242 «ἐντεῦθεν τό τε δημοτικὸν πλῆθος ἀπεχθάνεται αὐτῷ καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγον τι μέρος» καὶ σελ. 407 «διὰ ταῦτα καὶ τῷ τηνικαῦτα βασιλεύοντι ἀπηχθάνοντο ἀκριβῶς» καὶ Τόμ. Ε', σελ. 387 «καὶ τοῖς μὲν εὐνοοῦσιν ἡμῖν προσφέρεσθαι εὐνοϊκῶς, τοῖς δ' ἐναντίως ἔχουσιν ἀπεχθάνεσθαι καὶ μισεῖν». Πρβ. καὶ Τόμ. Δ', σελ. 407 «οὐ πάνυ τὸ στρατιωτικὸν πρὸς τοὺς πολιτευομένους ἡμᾶς συμβατικῶς καὶ ἀστείως εἶχεν, οὐδ' ἐσπένδετο ὁμαλῶς, ἀλλὰ τρόπον τινὰ ἀπηχθάνετο, κτέ.».

Νικηφ. Γρηγ. Τόμ. Α', σελ. 264, 15 «τῷ μὲν οὖν υἱῷ τῷ ἐμῷ καὶ βασιλεῖ Μιχαήλ, οἶμαι, ἀπεχθανόμενος διὰ τὰ τῶν φυσάντων πλημμελήματα τὴν παρ' ἑαυτοῦ συμμαχίαν οὐ δίδωσι».

Νικήτ. Χωνιάτ. σελ. 269, 15 «ὅπως ἔχαιρε καρυκείαις βρωμάτων καὶ τοῖς πρὸς λύριον καὶ κιθάραν καὶ συμφωνίαν ᾠδῶν ἔχουσιν οὐκ ἀπηχθάνετο».

Γεώργ. Κεδρην. Τόμ. Β', σελ. 113, 3 «ταῖς δὲ θείαις εἰκόσιν ὁ τύραννος ἀπεχθανόμενος ἔσπευδε πάντας ζωγράφους ἐξ ἀνθρώπων ἀφανίσαι» καὶ σελ. 688, 6 «βαρὺς γὰρ ἦν αὐτοῖς καὶ βλεπόμενος λίαν αὐτῷ ἀπεχθανομένοις ὡς ἀνδρὶ γενναίῳ καὶ θυμοειδεῖ».

Γεώργ. Παχυμέρ. Τόμ. Α', σελ. 133, 4 «ὡς καί τινας, οὓς ἂν εἴποι τις σκηνίτας καὶ τῇ πολιτείᾳ ἀπηχθημένους, μὴ θέλοντας ὑποτάττεσθαι, κτέ.» καὶ σελ. 277, 6 «φεύγετε τοίνυν τὰς παρασυνάξεις καὶ τοῖς σχίσμασιν ἀπεχθάνεσθε» καὶ σελ. 291, 2 «ὃς οὐ τόσον ὑπερεπάθει τοῦ Ἀρσενίου, ὅσον τῷ Γερμανῷ ἀπηχθάνετο διὰ τὴν ἐκ θρόνου ταπεινοῦ εἰς τὸν ὑπέρτατον ἐπιπήδησιν» καὶ σελ. 376, 18 «ὁ χαρτοφύλαξ τῷ βασιλεῖ ἀπηχθάνετο, αἰτίας ἐργολαβοῦντι τοῦ βλάψαι». Πρβ. Τόμ. Α', σελ. 269,7 «τοιαῦτα γὰρ τὰ τῆς ἐκκλησίας σπλάγχνα, ὡς καὶ βαρυνομένων ἡμῶν ὡς πατέρων ὑμᾶς ὡς τέκνα ἀνέχεσθαι καὶ ἀπεχθανομένων τινῶν ὑμᾶς αὖθις ἀλογοῦντας τῆς ἀπεχθείας ὡς μέλη γνήσια περιέπειν τοὺς ἀπεχθανομένους». Ἐν σελ. 370, 10 κεῖται «μὴ οὕτω διαφόρως ἔχειν καὶ ἀκηρύκτως ἀλλήλοις ἀπεχθάνεσθαι», ὅπερ δύναται καὶ ἐνεργητικῶς καὶ παθητικῶς νὰ νοηθῇ.

Κωνσταντ. Μανασσ. 4775 (σελ. 204 Βόνν.) «καὶ γὰρ ἀπεχθανόμενος ταῖς ἱερογραφίαις καὶ τοῖς ἀπεικονίσμασι Χριστοῦ καὶ τῶν μαρτύρων, τοὺς ἀπονέμοντας αὐτοῖς τὸ κατὰ σχέσιν σέβας ἀνυποφόροις καὶ δειναῖς στρεβλώσεσιν ἐκάκου».

Τιμαρ. ΚΖ' (σελ. 70 Ἐλισ.) «καὶ ταῦτα Αἰακοῦ καὶ Μίνωος τῶν δικαστῶν Ἑλλήνων ὄντων καὶ τοῖς Γαλιλαίοις ἡμῖν ἀπεχθανομένων, ὁποῖος σὺ τυγχάνεις, Χριστοῦ μύστης καὶ τρόφιμος».

Εὐστάθ. Παρεκβ. εἰς Ὅμ. σελ. 850, 17 «δῆλον δ' ὅτι ὡς τὰ πολλὰ τῷ σκυλευμῷ ἀπεχθάνεται ὁ ποιητής».

Σχολ. Δημοσθ. σελ. 71, 21 Δινδ. «εἰ δὲ τοῖς ἀδικοῦσιν ἀπεχθάνονται οἱ κρείττους, ἀσθενής ἐστιν ὁ Φίλιππος πολεμίους ἔχων τοὺς θεούς».

Ὁ Ἀσώπιος ἐποιήσατο μνείαν τοῦ ὑπὸ τοῦ Πλουτάρχου ῥηθέντος Γάλβ. ΙΗ' «οἱ μὲν οὖν πολλοὶ διὰ ταῦτα πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο». Τῆς τοιαύτης συντάξεως οὐκ ὀλίγα μαρτύρια παρέχουσιν ἡμῖν συγγραφεῖς τοῦ μεταγενεστέρου ἑλληνισμοῦ.

Παυσαν. Μεσσην. ΚΗ', 5 «τὸ δὲ ἀπὸ τούτου ῥᾷον ἔτι ἔμελλον ἀπεχθήσεσθαι πρὸς ἀλλήλους» καὶ Ἠλ. Β', κε', 3 «Ἠλεῖοι δ' οὖν ὡς σφίσι τε εὔνῳ καὶ ἀπεχθανομένῳ πρὸς τὸν Ἡρακλέα ἐποίησαν τὸ ἱερὸν τῷ θεῷ».

Ἰώσηπ. Τόμ. Α', σελ. 334, 14 Νισ. «ἐπιστὰς δὲ κατὰ τοὺς ὕπνους ὁ θεὸς τῷ Γεδεῶνι τὴν ἀνθρωπίνην φύσιν αὐτῷ φίλαυτον οὖσαν ἐδήλου καὶ πρὸς τοὺς ἀρετῇ διαφέροντας ἀπεχθανομένην» καὶ Τόμ. Γ', σελ. 201, 3 «τῶν τε Σύρων καὶ τῶν στρατιωτῶν πρὸς αὐτὸν ἀπεχθανομένων».

Ἰουλιαν. σελ. 306, 8 Ἑρτλ. «ἀφίημι δὲ τὰ ἑξῆς, ἵνα μὴ καὶ πρὸς τούτους ἀπεχθανόμενος ἅμα τοῖς τε φαυλοτάτοις τῶν κυνικῶν καὶ τῶν ῥητόρων προσκρούσαιμι» καὶ σελ. 457, 8 «καί με ἕτερος τῶν Πλάτωνος νόμων ὑπομνησθέντα ἐμαυτοῦ πεποίηκεν ἀπεχθάνεσθαι πρὸς ὑμᾶς».

Θεοδώρητ. Τόμ. Α', σελ. 1077 «καὶ ἀπεχθάνονται πρός με, αἰτίαν ἐμοῦ τοῦ μίσους οὐ δεδωκότος» καὶ σελ. 1190 «πρός σε γὰρ ἀπεχθανόμενοι τὸν ἀνακείμενόν σοι πολιορκοῦσι λαόν» καὶ σελ. 1194 «διὰ δὲ τὴν κατὰ νόμον πολιτείαν ἀπηχθάνοντο πρὸς Ἰουδαίους οἱ ἀστυγείτονες» καὶ Τόμ. Γ', σελ. 1184 «ἔφασκε γὰρ τὸν ἄνδρα παλ-

λακίδι προσκείμενον γοητικῇ τινι μαγγανείᾳ καταγεγοητεῦσθαι καὶ ἀπεχθάνεσθαι πρὸς αὐτὴν γάμου νόμῳ συνεζευγμένην» καὶ Τόμ. Δ', σελ. 436 «ὁ μὲν παλαιὸς τὸν ἀπεχθανόμενον πρὸς τὴν γυναῖκα ταύτην ἀπολύειν ἐκέλευσεν».

Ἐπιφάν. Τόμ. Β', σελ. 450, 21 Δινδ. «οὕτω καὶ οὗτοι τὰ στερεὰ τοῦ κηρύγματος μεμισήκασιν ἐπίγειοι ὄντες καὶ πρὸς τὰ ἐπουράνια ἀπεχθανόμενοι».

Ἰω. Χρυσόστ. Ὁμιλ. εἰς Ματθ. σελ. 190, Β' «ἐνταῦθα οὐ τὸ μὴ στασιάζειν αὐτοὺς μόνον καὶ ἀπεχθάνεσθαι πρὸς ἀλλήλους ἀναιρεῖ, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιζητεῖ».

Σωκράτ. Σχολαστ. Ἐκκλησ. Ἱστορ. σελ. 148 Οὔσσ. «ἐπετίθεντο γὰρ τότε μάλιστα οἱ πρὸς αὐτὸν ἀπεχθανόμενοι» καὶ σελ. 399 «πρὸς τοὺς ἐκ προλήψεως ἀπεχθανομένους πρὸς τὸν ἄνδρα ἀπαντῶντες» καὶ σελ. 663 «πολλοί τε πρὸς αὐτὸν ἀπηχθάνοντο καὶ ὡς ὀργίλον ἐξέκλινον» καὶ σελ. 806 «οὐδὲ γὰρ οὔτε ἀπεχθανόμενος πρὸς αὐτὸν ὧν εἶχεν ἐλαττωμάτων ἐμνήσθην οὔτε χαριζόμενός τισιν κτέ.» καὶ σελ. 812 «ἀπήχθετο πρὸς Κύριλλον ὡς αἴτιον τῆς γεγενημένης ταραχῆς».

Σωζομεν. Ἐκκλησ. Ἱστορ. σελ. 34 Οὔσσ. «σφόδρα γὰρ ἀπηχθάνετο πρὸς τοὺς χριστιανούς» καὶ σελ. 94 «καὶ ἄλλως ἀπεχθάνεσθαι πρὸς Εὐσέβιον ἐδήλου» καὶ σελ. 234 «ἐξ ἐπιβουλῆς τε τῶν πρὸς Παῦλον ἀπεχθανομένων σύνοδον καθίσας, τὸν μὲν ἀπεώσατο τῆς ἐκκλησίας κτέ.» καὶ σελ. 359 «πρόφασις ἐγένετο τοῖς ἀπεχθανομένοις πρὸς τὴν θρησκείαν ἀγγεῖλαι τῷ βασιλεῖ κτέ.» καὶ σελ. 809 «οἵ γε μὴν ἀπεχθανόμενοι πρὸς αὐτὸν καὶ τοῦτο διέβαλλον» καὶ σελ. 814 «ἐκ τοιούτων δὴ προφάσεων ἀπηχθάνοντο πρὸς αὐτὸν κληρικοὶ καὶ πολλοὶ τῶν μοναχῶν».

Πρόκλ. Διάδ. Τόμ. Δ', σελ. 102 Κουζ. «πρὸς τοὺς βασανίζειν ἐπιχειροῦντας ἀπεχθάνονται».

Μιχ. Ψελλ. Μεσαιων. Βιβλιοθ. Σάθ. Τόμ. Δ' σελ. 403 «πρὸς οὐδένα τῶν πάντων ἀπήχθετο, ἀλλ' ὁμαλῶς πᾶσι κατεμερίζετο».

Ἰω. Καντακουζ. Τόμ. Β', σελ. 527, 22 «ὧν ἕνεκα καὶ πρὸς αὐτοὺς οὔτε περὶ τῶν πρὶν γεγενημένων ἀπεχθάνεσθαι οὔτε τὸν ἔπειτα χρόνον».

Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Α', σελ. 305, 7 «καὶ παῖς πρὸς θεοὺς ἀπηχθάνετο καὶ πρὸς τὴν Λητὼ γέγονεν ἡ παῖς δυσμενής».

Σουίδ. λ. αὐθέκαστα. σελ. 195 Βεκκ. «οἱ τοίνυν ἀπεχθανόμενοι πρὸς αὐτὸν διὰ τὸ αὐθέκαστον τῶν νόμων καὶ ἄμικτον».

Σχολ. Ἀριστοφ. σελ. 170, 1 Διδ. «διὰ γὰρ τὸ ἀνάγκην ἔχειν ἅπτεσθαι καὶ ψηλαφᾶν τῆς κόπρου ἀπεχθάνεται πρὸς τὸν κάνθαρον».

Κεῖται δὲ καὶ ἐν τῇ Παραφράσει τῶν Διονυσίου Ὀρνιθιακῶν σελ. 109 Διδ. «τοσοῦτον ἀπεχθάνονται πρὸς τὰ μύρα, ὥστε οὐδ' ἂν κτήνους ἅψαιντο τεθνεῶτος, εἴ τις αὐτοῦ τὰς σάρκας ἐπαλείψειε μύρῳ».

Γίνεται δὲ μνεία τῆς περὶ ἧς ὁ λόγος συντάξεως καὶ ὑπὸ τοῦ Πολυδεύκους Ε', 115 «δυσμενῶς διάκειμαι πρὸς αὐτόν, δύσνως, κακόνως, ἀπεχθάνομαι πρὸς αὐτόν, ἀπεχθάνομαι αὐτῷ».

Διάφορον τῶν μνημονευθέντων παραδειγμάτων εἶνε τὸ φερόμενον ἐν τῇ πρὸς Δημόνικον Παραινέσει 30 «ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατον χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους», ὃ ἐξηγεῖται ὁ Κοραῆς ἐν τῇ ἐκδόσει τοῦ Ἰσοκράτους Τόμ. Β', σελ. 8 διὰ τῶνδε «Ἐὰν ἐκείνους τῶν φίλων φιλῇς, οἵ χαρίζονταί σοι πρὸς τὸ φαυλότατον, ἤγουν ἐπὶ τῇ σῇ μεγίστῃ βλάβῃ, οὐχ ἕξεις φίλους, οἵ τινες ἂν ἀπεχθάνοιντό σοι πρὸς τὸ βέλτιστον, τουτέστιν ἐπὶ τῇ σῇ ὠφελείᾳ».

Ἀναγκαῖον νομίζομεν νὰ παρατηρηθῇ ἐνθάδε ὅτι ἐπὶ παθητικῆς ἐννοίας ἐλέγετο ὑπὸ τῶν Ἑλλήνων ἀείποτε ἀπεχθάνομαί τινι, οὐδέποτε ἀπεχθάνομαι ὑπό τινος ἢ πρός τινος ἢ ἔκ τινος· ἀδόκιμον δ' εἶνε τὸ ὑπὸ Γεωργίου τοῦ Κεδρηνοῦ εἰρημένον Τόμ. Β', σελ. 371, 20 «διὰ ταῦτα πάντα ἀπηχθῆσθαι παρὰ τῶν πολιτῶν ἐπιστάμενος καὶ ἐπίθεσιν ὑφορώμενος τὴν ἀκρόπολιν ἐδομήσατο». Πρβ. καὶ Θησαυρ. Στεφ. Τόμ. Α', β', σελ. 1301, Δ' «Novitia Cyrillus Alex. vol. 2, p. 553, D: Ἀπηχθημένοι παρά γε τῷ φιλαρέτῳ θεῷ».

ΚΕΦ. ΙΓʹ.

Τοῦ ὀνόματος **ῥυπασμός** δὲν ὑπάρχει ἀψευδὲς μαρτύριον.

Τὸ ὄνομα ῥυπασμός κεῖται ἔν τε τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Ϛʹ, σελ. 2441 «Ῥυπασμός, ὁ, idem. Ἄλη per ῥ exp. Eustath. p. 1849,12» καὶ ἐν τῷ τοῦ Πασσοβίου Λεξικῷ τῆς Ἑλλην. Γλώσσης Τόμ. Βʹ, σελ. 1353 «ῥυπασμός, ὁ, = ῥύπασμα, Eust. p. 1849,12» καὶ ἐν τῷ τοῦ Λιδδέλλου καὶ τοῦ Σκόττου σελ 1368 ἐκδ. ζʹ «ῥύπασμα — also ῥυπασμός, ὁ, Eust. 1849, 12. Ἀλλὰ τὸ μαρτύριον, οὗ γίνεται μνεία πρὸς πίστωσιν τῆς χρήσεως τοῦ ὀνόματος τούτου, δὲν εἶνε ἀψευδές.

Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου 1849,12 ἀναγινώσκεται «Δῆλον δὲ ὅτι καὶ ἐπὶ ἀδημονίας ἡ λέξις (ἀλύω) κεῖται καὶ μάλιστα παρὰ τοῖς ὕστερον ὡς ἀπὸ τοῦ ἐκλύειν· ἄλις (γρ. ἄλυς) γὰρ ἐντεῦθεν ἡ ἀδημονία καί, ὡς οἱ παλαιοί φασιν, (ἄλυς) ἄλη, ῥυπασμός καὶ ἀλύειν τὸ μηδὲν πράττειν».

Ἂν ἐφέρετο ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὄνομα ῥυπασμός, θὰ ἦτο πάντως παρηγμένον ἐκ τοῦ ῥήματος ῥυπαίνω-ομαι. Ἀλλὰ τίς ποτε θὰ ἐποιεῖτο δι᾽αὐτοῦ ἐξήγησιν τοῦ ὀνόματος ἄλυς; Καταφανὴς μὲν εἶνε ἡ πλημμέλεια τῆς ἐν τῇ ῥήσει τοῦ Εὐσταθίου παραδεδομένης γραφῆς, εὐχερὴς δ᾽ ἀποβαίνει ἡ ἐπανόρθωσις αὐτῆς. Ὑπὸ τοῦ Εὐσταθίου ἐγράφη ἀναντιλέκτως «καί, ὡς οἱ παλαιοί φασιν, ἄλυς· ἄλη, ῥιπτασμός».

Ἐν ἑτέρῳ τόπῳ τῶν εἰς Ὅμηρον Παρεκβολῶν τοῦ Εὐσταθίου εἶνε κακῶς γεγραμμένον ῥιπασμός ἀντὶ τοῦ ῥιπΤασμός σελ. 1636,25 «Ἰστέον δὲ ὡς παρὰ τοῖς παλαιοῖς γράφεται καὶ ταῦτα· ἀλύει ἀντὶ τοῦ μαίνεται — καὶ ὅτι ἄλυς· ἄλη ῥιπασμός καὶ ἀλύειν τὸ μηδὲν πράττειν». Τὴν ῥῆσιν ταύτην παρέθετο ὁ Φίξιος ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου λ. ἄλυς Τόμ. Αʹ, αʹ, σελ. 1591, Βʹ καὶ ἐπηνώρθωσε τὸ προφανέστατον γραφικὸν πταῖσμα ἀναγνοὺς ῥιπτασμός ἀντὶ ῥιπασμός (Πρβ. καὶ Σχουάβιον ἐν τῇ ἐκδόσει τῶν Αἰλ. Διονυσίου καὶ Παυσανίου Ἀττικῶν Ὀνομάτων σελ. 103). Παράδοξον ἡμῖν φαίνεται ὅτι ἡ πλημμέλεια τοῦ ῥιπασμός οὐδαμῶς ἐγένετο αἰσθητὴ

τῷ Φρεϋήρῳ μνημονεύοντι τὴν ῥῆσιν τοῦ Εὐσταθίου ἐν *Leipz. Stud.* 1882, σελ. 375.

Ἀνεγνώσθη δὲ πλημμελῶς ῥιπασμός - ῥυπασμός ἀντὶ τοῦ ῥιπτασμός, ὡς παρών ἀντὶ τοῦ πταρών παρὰ Διογένει τῷ Λαερτίῳ ϛ', 48 «λέγοντος δ' αὐτῷ τινος ἰσχυρῶς δεισιδαίμονος· μιᾷ πληγῇ τὴν κεφαλήν σου διαρρήξω· ἐγὼ δέ γε, εἶπε, παρὼν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω». Λέγεται δὲ ἐν ταῖς εἰς Διογένη Σημειώσεσι Τόμ. Β' σελ. 36 Ὑβν. Legendum ex codice Regio πταρὼν ἐξ ἀριστερῶν, *a sinistris sternutans.* Quam verissimam emendationem quemadmodum et praecedentem etiam Bigotius noster ad oram libri notaverat. Superstitiosos homines e sternutamento augurium captasse res est notissima. Apposite ad Laertium Plutarchus libro de Genio Socratis [T. II. p. 581. A]: Μεγαρικοῦ τινος ἤκουσα (Τερψίωνος δὲ ἐκεῖνος) ὅτι τὸ Σωκράτους δαιμόνιον πταρμὸς ἦν, ὅ τε παρ' αὐτοῦ καὶ ὁ παρ' ἄλλων· ἑτέρου μὲν πταρόντος ἐκ δεξιᾶς (ita legendum, non παρόντος, ut vulgo scriptum est: quod etiam vidit Xylander) εἴτ' ὄπισθεν εἴτ' ἔμπροσθεν ὁρμᾶν αὐτὸν ἐπὶ τὴν πρᾶξιν, εἰ δ' ἐξ ἀριστερᾶς, ἀποτρέπεσθαι etc.—Obiter observandum cum apud Laertium tum apud Plutarchum in eodem erratum vocabulo. Similiter apud Photium in vita Isidori scripta a Damascio p. 1052. ad oram horum verborum, ὡς ἀκούσας γυναῖκα πταρεῖσαν ἀθροώτερον, πάντας ἀποβαλεῖν τοὺς ὀδόντας, scriptum: aliter παρεῖσαν. (cf. Valcken. ad Herodot. VI. 107)». Ἴδε καὶ Ἀθηνᾶν 1889, σελ. 315 κέ.

Τοῦ ὀνόματος ῥιπτασμός μνημονεύονται παραδείγματα ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου ἐκ τῶν Ἱπποκρατείων καὶ ἐκ τῶν Διατριβῶν τοῦ Ἐπικτήτου καὶ ἐκ τῶν Ἠθικῶν τοῦ Πλουτάρχου. Ἀπαντᾷ δὲ καὶ ἐν ταῖς Ἐκλογαῖς τοῦ Στοβαίου Τόμ. Β', σελ. 50, 2 Μειν. «ἄσην δὲ λύπην μετὰ ῥιπτασμοῦ» καὶ παρὰ τῷ Σωρανῷ περὶ Γυν. Παθ. σελ. 30, 8 Ἐρμ. «ἀπορία, ῥιπτασμός, ἀνατροπὴ στομάχου» καὶ παρὰ τῷ Γαληνῷ Τόμ. Ζ', σελ. 466 «ἀσιτίαι καὶ ῥιπτασμοί» καὶ Τόμ. ΙΕ', σελ. 556 «ἐν πολλοῖς δὲ τῶν ἀντιγράφων οὐ σπατίλην γεγραμμένην εὑρήσεις ἀλλ' ἄσην, ἵν' ἀκούσωμεν δηλονότι τὸν ῥιπτασμὸν τοῦ σώματος» καὶ Τόμ. ΙΘ', σελ. 75. Ὁ κῶδιξ τοῦ Ἡσυχίου ἔχει «Βλησύρισμος: ὁ ἱππασμὸς καὶ ἀλύς» ἀντὶ τοῦ «Βλη-

στρισμός: ῥιπτασμὸς καὶ ἄλυς». Πρβ. Ἐρωτιαν. σελ. 18,4 Κλειν. «Βληστρισμός: ὁ ῥιπτασμός. Οὕτω Βακχεῖος τίθησιν. Ἐν ἐνίοις δὲ ἀντιγράφοις εὕρομεν βλητρισμὸν χωρὶς τοῦ Σ, ὄντως δὲ τὸν ῥιπτασμὸν σημαίνει, καθὼς καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν· . . . . ἐγὼ δ' ἐμαυτὸν πόλιν ἐκ πόλεως φέρων ἐβλήστριζον· ἀντὶ τοῦ ἐρριπταζόμην» (Ἴδε Μεινέκιον ἐν *Vindic. Strab.* σελ. 217 καὶ Βέργκιον ἐν τῇ Δ' ἐκδόσει τῶν Λυρικῶν ποιητῶν Τόμ. Β', σελ. 116). Παρὰ Ῥούφῳ τῷ Ἐφεσίῳ σελ. 209, 5 Δαρ. εὑρίσκεται «καὶ στενάγματι καὶ βοῇ καὶ ῥιπτάσματι καὶ ἀπορίᾳ».

Παρεθέμεθα ἐν τοῖς ἄνω ἐκ τῶν Ἐκλογῶν τοῦ Στοβαίου τὸ «ἄσην δὲ λύπην μετὰ ῥιπτασμοῦ». Σημειοῦται δ' ὁ Οὐαξμούθιος ἐν τῇ ἐκδόσει τῶν Ἐκλογῶν τούτων Τόμ. Β', σελ. 92 «ῥυπασμοῦ Andr. (vulg., sed ῥιπτασμοῦ Coisl.)».

Παρατηρητέον ὅτι πλημμελῶς εἶνε γεγραμμένον παρὰ τῷ Γαληνῷ Τόμ. ΙΘ', σελ. 546 «ῥυπτιζόμενοι πάνυ καὶ ἐν ἀέρι ψυχρῷ βουλόμενοι εἶναι ἀεί, ὥστε καὶ τὰ περιβόλαια ἀπορρίπτειν» ἀντὶ τοῦ ῥιπταζόμενοι. Πρβ. Τόμ. ΙΕ', σελ. 663 «ἀλλὰ καὶ σφοδρότερον γίγνεται καὶ ῥιπτάζονται, τουτέστιν ἄσην τε καὶ δυσφορίαν ἔχουσιν» (Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Ϛ', σελ. 2399). Σημειωτέον δ' ὅτι ὑπὸ τοῦ Ἡσυχίου γίνεται ἐξήγησις τοῦ σαλεύειν διὰ τοῦ ῥιπτάζεσθαι.

Ὁμοίως τῷ ῥιπτάζειν εἶνε ἐσχηματισμένον τὸ κυπτάζω. Ὁ Λοβέκκιος γράφει ἐν τῷ Ῥηματικῷ σελ. 220 «Et huic numero adjiciendum videtur illud de quo Ammonius loquitur κύπτειν τὸ κάμπτεσθαι ἐπὶ γῆν, κυπτάζειν τὸ στραγγεύεσθαι, quos nos sic enuntiamus illud absolutum esse, hoc frequentativum ideoque trasferri ad eos qui intenta opera in aliquod studium incumbunt. Itaque non simplex verbi κύπτω paraschematismus esse videtur sed adjectivi κυπτός germana propago simileque frequentativis latini sermonis *versus, versare, tractus, tractare*. Idem fortasse differunt κρύπτω κρυπτός κρυπτάζω, ῥίπτω ῥιπτός ῥιπτάζω etc». Περὶ τοῦ ῥήματος κυπτάζω ποιεῖται λόγον καὶ ὁ ἀοίδιμος Κοραῆς ἐν τῷ Προδρόμῳ τῆς Ἑλλην. Βιβλιοθήκης σελ. ϞϬ' κέ. προθυμούμενος ν' ἀποδείξῃ ὅτι ἀναγκαίως ἔχει νὰ γράφηται δι' Υ κυττάζω τὸ κοινολεκτούμενον ῥῆμα ἐπὶ τῆς σημασίας τοῦ βλέπω,

ὡς οὐδὲν ἄλλο ὂν ἢ τὸ παλαιὸν κυπτάζω κατὰ διάφορον τύπον προενηνεγμένον κυΠτάζω - κυΤτάζω.

ΚΕΦ. ΙΔʹ.

Ἀποδύοντες - ἀποδύονται.

Ἐν τοῖς Βεκκήρου Ἑλλην. Ἀνεκδότοις σελ. 110, 29 φέρεται « Ὀψίζεσθαι: Λυσίας κατὰ Αὐτοκράτους μοιχείας· τοῖς ὀψιζομένοις ἐν ταῖς ὁδοῖς ἐπιτιθέμενοι τὰ ἱμάτια ἀποδύονται». Οὕτω δὲ γεγραμμένον τὸ ἀποσπασμάτιον τοῦτο τοῦ Λυσίου βλέπομεν καὶ ἐν τῇ Κοβητείῳ ἐκδόσει τοῦ ῥήτορος σελ. 262, 18.

Οὐδαμῶς ἡμεῖς τῇ προκειμένῃ ῥήσει εὐαρμοστοῦν εὑρίσκομεν τὸ ῥῆμα ἀποδύονται οὔτ' ἐπὶ παθητικῆς διαθέσεως οὔτ' ἐπὶ μέσης νοούμενον· δοξάζομεν δ' ὅτι ἔγραψεν ὁ Λυσίας «τοῖς ὀψιζομένοις ἐν ταῖς ὁδοῖς ἐπιτιθέμενοι ΚΑΙ τὰ ἱμάτια ἀποδύοντΕΣ». Γίνεται δὲ πιθανώτατα λόγος περὶ λωποδυτῶν τοῖς ὀψιζομένοις ἐν ταῖς ὁδοῖς ἐπιτιθεμένων καὶ τὰ ἱμάτια αὐτοὺς ἀποδυόντων. Λέγεται δὲ καὶ ἐν ἀποσπάσματι τοῦ Ἀλέξιδος παρ' Ἀθην. σελ. 227, Δʹ «ὅστις ἀγοράζει πτωχὸς ὢν ὄψον πολύ, ἀπορούμενός τε τἆλλα πρὸς τοῦτ' εὐπορεῖ, τῆς νυκτὸς οὗτος τοὺς ἀπαντῶντας ποιεῖ γυμνοὺς ἅπαντας». Πρβ. καὶ Πλάτ. Φαίδρ. σελ. 273. Βʹ «ἐάν τις ἀσθενὴς καὶ ἀνδρικὸς ἰσχυρὸν καὶ δειλὸν συγκόψας, ἱμάτιον ἤ τι ἄλλο ἀφελόμενος, εἰς δικαστήριον ἄγηται, δεῖ δὴ τἀληθὲς μηδέτερον λέγειν». Ἄξια παραθέσεως εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 446 «Ex oratione Lycurgi Stobaeus affert *Floril.* 2, 31. εἴ τις ἀνδρεῖος ὢν ληΐζεσθαι (scr. λῄζεσθαι) μᾶλλον ἢ στρατεύεσθαι προαιρεῖται ἢ ἰσχυρὸς ὢν λωποδυτεῖν μᾶλλον ἢ συμβουλεύειν ἢ καλὸς ὢν μοιχεύειν μᾶλλον ἢ γαμεῖν. Bellissima hercle oppositio λωποδυτεῖν μᾶλλον ἢ συμβουλεύειν! Si in συμβουλεύειν apices litterarum rimaberis, nihil umquam sani extundes. Lacuna stolide expleta est λωποδυτεῖν μᾶλλον ἢ * * * * * ΕΙΝ. Supplemendum verius ipsa sententia suppeditabit. Feret opem Teles

Floril. 5,67. pag. 125,2, Meinek. ἀσθενὴς γέγονας; μὴ ζήτει τὰ τοῦ ἰσχυροῦ φορτία βαστάζειν κτέ. Hoc ipsum requiritur: λωποδυτεῖν μᾶλλον ἢ [φορτία βαστάζ]ΕΙΝ. Homines de plebecula corpore valido robustoquo si frugi essent φορτία βαστάζοντες victum quaerebant, si improbi ἐλωποδύτουν. Proprie dicuntur οἱ τὰ φορτία βαστάζοντες aut τῷ σώματι ἐργάζεσθαι (Xenoph. *Mem.* II. 8,1) aut ἀπὸ τῶν ὤμων ἀποζῆν apud Nicostratum in Stobaei *Floril.* 74, 62 Stuporem scioli, qui συμβουλεύειν supplevit, noli mirari». Πρβ. καὶ Διογ. Λαέρτ. Ϛ', 47 «παχέος κιθαρῳδοῦ πρὸς πάντων μεμφομένου, αὐτὸς μόνος ἐπῄνει· ἐρωτηθεὶς δὲ διὰ τί, ἔφη, ὅτι τηλικοῦτος ὢν κιθαρῳδεῖ καὶ οὐ λῃστεύει». Δὲν φαίνεται ἀπίθανον ὅτι ἔκειτο κατ' ἀρχὰς παρὰ τῷ Στοβαίῳ τοιόνδε τι· «ἢ ἰσχυρὸς ὢν λωποδυτεῖν ΜΑΛΛΟΝ Η (ἀχθοφορεῖν ἢ ῥητορικὸς ὢν συκοφαντεῖν ΜΑΛΛΟΝ Ἢ) συμβουλεύειν». Περὶ τοῦ ῥήματος ἀχθοφορεῖν ἴδε Λοβέκκιον ἐν τοῖς εἰς Φρύνιχον Παρέργοις σελ. 680.

Περὶ τῆς ἀσυναλείπτου ἐκφορᾶς τὰ ἱμάτια ἴδε Ἀθηνᾶν 1890, σελ. 527. Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 56 «Sic et θοἰμάτιον et θαἰμάτια constanter rescribendum»· ἀλλ' ἐν τῷ ἀποσπασματίῳ τοῦ Λυσίου ἐφύλαξε τὴν γραφὴν τά ἱμάτια».

Καθ' ἣν ἡμεῖς ἐποιησάμεθα ἀνάγνωσιν τῆς ῥήσεως τοῦ Λυσίου μετεβλήθη μὲν τὸ ῥῆμα ἀποδύΟΝΤΑΙ εἰς τὴν μετοχὴν ἀποδύΟΝΤΕΣ, προσετέθη δ' ὁ συνδέων τὰς δύο μετοχὰς σύνδεσμος ΚΑΙ. Οὐχὶ δ' ἅπαξ ἢ δὶς μετέπεσεν ἐν τοῖς ἀντιγράφοις ἡ ἐν τέλει λέξεως κειμένη συλλαβὴ ΤΕΣ εἰς τὴν ΤΑΙ καὶ τοὐναντίον αὕτη εἰς ἐκείνην.

ἀρετῶντες - ἀρετῶνται. Ἐν τῷ Οὐϊνδοβονησίῳ Λεξικῷ σελ. 10, 7 Ναυκ. κεῖται «Ἀρετῶμαι: τὸ ἀρετῆς ἐφίεμαι. Προκόπιος· οἱ μὲν θανατῶνται, οἱ δὲ ἀρετῶνται». Ἀλλ' ἀντὶ τῆς βαρβάρου ταύτης ῥήσεως φέρεται παρὰ τῷ Προκοπίῳ, ὡς παρετηρήθη καὶ ὑπὸ τοῦ Ναυκίου, Τόμ. Β', σελ. 639,23 Δινδ. «ἀμφότεροί τε θυμῷ ἐπὶ τοὺς πέλας πολλῷ ἵεντο, οἱ μὲν θανατῶντες, οἱ δὲ ἀρετῶντες». Παρέχει δ' ἡμῖν ὁ Προκόπιος καὶ ἕτερον μαρτύριον τοῦ ῥήματος ἀρετᾶν Τόμ. Γ', σελ. 170, 20 «διὰ ταῦτα γὰρ καὶ τῶν ἐπιγινομένων πολλοὶ ἀρετῶσι μὲν τὰς τῶν προγεγενημένων ζηλοῦντες τιμάς, ἐς δὲ τὰς βλασφημίας χαλεπῶς ἔχοντες τῶν ἐπιτηδευμάτων τὰ πονηρότατα, ὡς τὸ εἰκός, ἀναδύονται». Οὐ μόνον δ' ὁ Προκόπιος ἀλλὰ

καὶ ἄλλοι μεταγενέστεροι ἐποιήσαντο χρῆσιν τοῦ ἀρχαιοπινοῦς τούτου ῥήματος.

ψιλοῦντες - ψιλοῦνται. Ὁ Γ. Δινδόρφιος ἐκδοὺς ἐν τοῖς εἰς Εὐριπίδην Σχολίοις Τόμ. Γ', σελ. 369, 14 «αἶ αἶ: οἱ παλαιοὶ ῥήτορες ψιλοῦντΕΣ καὶ περισπῶντΕΣ, οἱ δὲ δὲ νέοι αἲ αἲ βαρύνοντΕΣ» ἐσημειώσατο «ψιλοῦνται καὶ περισπῶνται — βαρύνονται C. Correxit Valck. qui conf. Tzetz. ad Lycoph. 31».

πτώσσοντες - πτώσσονται. Ὀρθῶς μὲν ἐν τῷ Λεξικῷ τοῦ Φωτίου εἶνε γεγραμμένον «ΠτώσσοντΕΣ: δειλιῶντΕΣ», πλημμελῶς δ' ἐν τῷ τοῦ Ἡσυχίου Πτώσσονται: δειλιῶνται».

ὀφείλοντες - ὀφείλονται. Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 208, 34 κεῖται «Ὅτι οὕτω θαυμαστοὶ καὶ φιλοβασιλεῖς οἱ Ἕλληνες, ὥστε ἐκπάγλως κοτέονται τῷ Θερσίτῃ, καὶ ὀφείλονται λύπην τρέφειν κατὰ τοῦ βασιλέως διά τε τὴν ἀπόπειραν καὶ τὴν τοῦ νόστου κώλυσιν, οἱ δὲ ὅμως νεμεσῶσι τῷ στασιαστῇ, τουτέστι δικαίως ἐπιμέμφονται». Οὐδεμία δύναται νὰ ὑπάρχῃ ἀμφιβολία ὅτι ἔγραψεν ὁ Εὐστάθιος «ὀφείλοντΕΣ λύπην τρέφειν κατὰ τοῦ βασιλέως διά τε τὴν ἀπόπειραν καὶ τὴν τοῦ νόστου κώλυσιν, οἱ δὲ ὅμως νεμεσῶσι τῷ στασιαστῇ». Καθ' ὁμοίαν σύνταξιν εἶνε ὑπὸ τοῦ Εὐσταθίου εἰρημένον σελ. 45, 19 «καὶ τὸ κακὸν δέον ὂν κατὰ τοὺς παλαιοὺς ἐν τοσαύταις ἡμέραις ὑπολωφῆσαι, εἰ μὴ θεόθεν ἦν, τὸ δὲ ἐπὶ πλέον προάγεται» καὶ σελ 1507,51 «δέον γὰρ ὂν βαρύνεσθαι κατὰ τὸ δύω δύνω, θύω θύνω τὰ βραχυπαράληκτα, τὸ δὲ περιεσπάσθη κατὰ τὸ ἴκω ἱκνῶ, οἴχω οἰχνῶ τὰ μακροπαράληκτα» καὶ σελ. 1849, 7 «χρεὼν γὰρ ὂν αἰδεῖσθαι αὐτὴν ἀναμισγομένην ἀνδράσιν, ἡ δὲ τῷ ξείνῳ περιτρέπει τὸ ὄνειδος». Ἴδε Ἀθηνᾶν 1895, σελ. 56 κέ.

ἐναπομάττονται - ἐναπομάττοντες. Φίλ. Ἰουδ. Τόμ. Β', σελ. 43 «ἁπαλαῖς γὰρ ἔτι ταῖς τῶν νέων ψυχαῖς οἱ τραγῳδίαν τὸν βίον ἐρώντων τύφων νομίζοντες κεκιβδηλευμένους χαρακτῆρας ἐναπομάττοντες, διακόνοις ἀκοαῖς χρώμενοι, ὧν μυθικὸν λῆρον καταχέαντες καὶ μέχρι διανοίας αὐτὸν ἐντήξαντες, θεοπλαστεῖν τοὺς τὰ φρονήματα ἄνδρας μὲν μηδέποτε γινομένους, ἀεὶ θηλυδρίας ὄντας, ἠνάγκασαν». Ὀρθῶς ἐν τῇ νέᾳ ἐκδόσει τοῦ Φίλωνος Τόμ. Β', σελ. 36,25 εἶνε γεγραμμένον «ἁπαλαῖς γὰρ ἔτι ταῖς τῶν νέων ψυχαῖς οἱ τραγῳδίαν τὸν βίον τύφων ἐρώντων νομίζοντες κεκιβδηλευμένους χαρακτῆρας

εναπομάττονται». Πολλάκις δ' ὁ συγγραφεὺς οὗτος ἐποιήσατο χρῆσιν τοῦ ῥήματος ἐναπομάττεσθαι, ὡς ἐδίδαξεν ὁ Siegfried ἐν τῷ *Phil. von Alexandr.* σελ. 73.

καταικίζονται-καταικίζοντες. Πλούτ. Ἠθικ. σελ. 113, Β' «τινὲς δὲ τῶν βαρβάρων καὶ μέρη τοῦ σώματος ἀποτέμνουσι, ῥῖνας καὶ ὦτα καὶ τὸ ἄλλο σῶμα καταικίζοντες, δοκοῦντές τι χαρίζεσθαι τοῖς τετελευτηκόσιν ἀπαρτώμενοι τῆς κατὰ φύσιν ἐν τοῖς τοιούτοις μετριοπαθείας». Ἄνευ τινὸς ὄκνου ἀποφαινόμεθα ὅτι ἡ γνησία γραφὴ εἶνε «τινὲς δὲ τῶν βαρβάρων καὶ μέρη τοῦ σώματος ἀποτέμνουσι, ῥῖνας καὶ ὦτα, καὶ τὸ ἄλλο σῶμα καταικίζοντΑΙ». Πρβ. σελ. 117, Ϛ' «οὐδὲν ἐκ τοῦ πένθους ὄφελος περιποιησάμενοι, μάτην δ' ἑαυτοὺς καταικισάμενοι ταῖς κακουχίαις».

φυλάττονται-φυλάττοντες. Γαλην. Τόμ. ΙΗ', β', σελ. 611 «καλλίαν δὲ τὸν πίθηκον (ὀνομαζόντων τῶν ἀνθρώπων), ἐπειδὴ καὶ τούτου τὴν προσηγορίαν φυλάττοντες λέγουσιν, ὥσπερ καὶ Καλλίμαχος ἔφη· πρὸ μιῆς ὥρας θηρίον οὐ λέγεται». Πλημμελὲς ἡμεῖς τὸ φυλάττοντΕΣ λέγουσιν ὑπολαμβάνοντες ἀναγινώσκομεν φυλάττοντΑΙ λέγΕΙΝ. Πρβ. Τόμ. ΙΑ', σελ. 560 «καίτοι φυλαττόμενος ἀντιλογίας ἅψασθαι» καὶ Τόμ. ΙΒ', σελ. 1002 «καίτοι φυλαττόμενος οὕτως πράττειν» καὶ Στέφ. Βυζ. σελ. 516,10 Μειν. «Πελοποννησιακὸν δὲ πόλεμον φυλάττονται λέγειν» (Ἴδε Θησ. Στεφ. Τόμ. Η', σελ. 1120, Γ'). Περὶ τοῦ χωρίου τοῦ Καλλιμάχου «(ὃ) πρὸ μιῆς ὥρας θηρίον οὐ λέγεται» ἴδε Ὀθ. Σνειδῆρον ἐν τῇ ἐκδόσει τῶν Καλλιμαχείων Τόμ. Β' σελ. 639. Πρβ. καὶ Ναύκιον ἐν τῷ Ἑρμῇ 1889, σελ. 453.

συμπορεύονται-συμπορεύοντες. Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου φέρεται «Πάροχοι: παραβάται, παράπομποι καὶ οἱ συμπορεύοντες τῇ νύμφῃ ἐπὶ τοῦ ζεύγους, καὶ παράνυμφοι». Γράφει δ' ὁ Ναύκιος ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων Ἀριστοφάνους τοῦ Βυζαντίου σελ. 148 «Tentabam olim οἱ συμπομπεύοντες τῇ νύμφῃ. Rectius fortasse scripseris οἱ συμπορεύοντες τὴν νύμφην». Ἡμῖν φαίνεται πιθανώτερον ὅτι ἐλέχθη ὑπὸ τοῦ Ἡσυχίου «Πάροχοι: παραβάται, παράπομποι· καὶ οἳ συμπορεύονται τῇ νύμφῃ ἐπὶ τοῦ ζεύγους, οἱ καὶ παράνυμφοι». Φέρεται δὲ παρὰ τῷ Ἡσυχίῳ καὶ «Μοιρίλογχοι: οἱ τὰ κοινὰ διαιροῦντες». Μεταγραπτέον δ' ἴσως «Μοι-

ρόλογχοι: οἱ τὰ κοινὰ διαιροῦντΑΙ». Πρβ. Μοιρολαλεῖν (μοιρολογχεῖν): τὸ μερίδα λαγχάνειν, τινὲς δὲ διαιρεῖσθαι». Ἴδε καὶ Ἀθήν. Σύγγρ. Περιοδ. 1878, σελ. 750.

Παρατιθέμεθα καὶ τὰ γεγραμμένα ἐν τῇ Σχαιφηρείῳ ἐκδόσει Γρηγορίου τοῦ Κορίνθου σελ. 764 «Nonnumquam hoc ες male legerunt habueruntque pro syllaba αι. Scholiastes ad Platon. p. 185. Εἴργοντες τὰ αὐτοῦ: Οὔτε διδάσκοντες λόγῳ τοὺς νέους, εἴργουσιν ἀκολασταίνειν, οὔτε βίᾳ κολάζονται. E Cod. 1807. restituendum κολάζοντες. Vide hoc κολάζοντες tab. IV num. 9. Pari modo νεοχμοῦνται in Etymologico Parisino natum est e νεοχμοῦντες. v. *Gregor.* pag. 545. E contrario in Aristide Vol. II. p. 486 vitiosum οὐκαθρέξοντες recte mutatur in οὐκ ἀφέξονται. v. *Epist.* pag. 187. V. etiam Herodiani Fragm. Herm. p. 302., ubi Cod. August. male dat οἱ σφάλλοντες pro οἱ σφάλλονται» καὶ σελ. 926 «Manetho VI. v. 538. Δινδυμίῃ γὰρ ἀγείρονται κατὰ δήμους Καὶ πόλιας πλάζονται κτλ. Pro ἀγείρονται Ruhnkenius ad Tim. p. 11 optime legit ἀγείροντες, quod fugit Dorvillium ad Chariton. p. 681 Lips. Πρβ. καὶ σελ. 983, 22.

ΚΕΦ. ΙΕ΄.

Οἱ καὶ τούτῳ συνασπίζοντες - οἱ καὶ τούτῳ συνασπίζονται.

Παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ σελ. 261, 10 Βεκκ. φέρεται «οἷον, εἰ Ἐπίκουρον διὰ τὸ πολλοὺς εἶναι τοὺς περὶ αὐτοῦ συμφωνοῦντας ὅτι εὗρε τἀληθές, τί μᾶλλον Ἐπίκουρον ἢ Ἀριστοτέλην; ἢ ὅτι οὐκ ἐλάσσους εἰσὶν οἱ καὶ τούτῳ συνασπίζονται;».

Ἀπίθανον ἡμεῖς εὑρίσκοντες ὅτι ἐποιήσατο χρῆσιν ὁ Σέξτος τοῦ τύπου συνασπίζεσθαι ἀποφαινόμεθα ὅτι ἐγράφη μὲν ὑπ' αὐτοῦ «οἱ καὶ τούτῳ συνασπίζοντΕΣ», ἀνεγνώσθη δ' ὑπὸ τῶν μεταγραφέων «οἱ καὶ τούτῳ συνασπίζοντΑΙ». Πρβ. σελ. 731, 29 «ἦσαν δέ τινες Χαλδαίων οἱ καὶ ἕκαστον μέρος τοῦ ἀνθρωπείου σώματος ἑκάστῳ τῶν ζῳδίων ἀνατιθέντες ὡς συμπαθοῦν».

Τὸ ῥῆμα συνασπίζω ἀπαντᾷ παρὰ τῷ Εὐριπίδῃ· παρέχουσι δ' αὐτοῦ ἡμῖν οὐκ ὀλίγα μαρτύρια συγγραφεῖς τοῦ μεταγενεστέρου ἑλληνισμοῦ, ὁ Πολύβιος, ὁ Πλούταρχος, Διόδωρος ὁ Σικελιώτης, ὁ Λουκιανός, ὁ Στράβων καὶ ἄλλοι.

Εὐριπ. Κύκλ. 38 «χῶτε Βακχίῳ κώμοις συνασπίζοντες Ἀλθαίας δόμους προσῆτ' ἀοιδαῖς βαρβίτων σαυλούμενοι;».

Πολύβ. σελ. 390,24 Οὔλσχ. «παρήγγειλε τοῖς πελτασταῖς πρώτοις ἐμβαλεῖν εἰς τὸν ποταμὸν καὶ ποιεῖσθαι τὴν ἔκβασιν ἀθρόους κατὰ τάγμα συνησπικότας» καὶ 28 «ἐν τῷ ταύτην τε μεῖναι συνασπίσασαν καὶ τὴν δευτέρχν κτέ.» καὶ σελ. 835, 20 «εἰ δ' ὅλως συνήσπισαν κατὰ τὸν ποιητὴν οὕτως ὥστε συνερεῖσαι πρὸς ἀλλήλους, κτέ.» καὶ σελ. 836, 7 «ἐν οἷς ἀνάγκη τοὺς τρισμυρίους καὶ δισχιλίους ἐπὶ τριάκοντα τὸ βάθος ὑπάρχειν συνησπικότας».

Πλούτ. Ῥωμ. ΙΗ' «εἶτα συνασπίσαντες πάλιν ἔωσαν τοὺς Σαβίνους» καὶ Πελοπ. Δ' «συνασπίσαντες ἠμύναντο τοὺς ἐπιφερομένους» καὶ Φιλοπ. Ι' «οἵπερ ἀεὶ τῷ Φιλοποίμενι παρῆσαν μαχομένῳ καὶ συνήσπιζον».

Διόδ. Σικελ. Δ', ιϛ',3 «ἀλλ' ἑαυταῖς συνασπίζουσαι τότε πᾶσαι κατεκόπησαν».

Λουκιαν. Ἀλ. 1 «πάντες ἅμα συνασπίσωμεν ἐπ' αὐτόν».

Στράβ. σελ. 214,23 Μειν. «εἰ γὰρ δὴ συνασπίζειν ἐβούλοντο ἀλλήλοις, οὔτε Καρχηδονίοις ὑπῆρξεν ἂν καταστρέψασθαι ἐπελθοῦσι τὴν πλείστην αὐτῶν ἐκ περιουσίας, κτέ.».

Ἀριστείδ. Τόμ. Α', σελ. 750 Δινδ. «ἕως ἂν Ἀθῆναι καὶ Θῆβαι συνασπίζωσιν».

Ἀππιαν. σελ. 943, 19 Μενδ. «πάντες ἐδεδοίκεσαν ὅμοια καὶ συνήσπιζον ἀλλήλοις».

Φιλόστρ. Τόμ. Β', σελ. 180, 8 Καυσ. «ὅθεν ἔχαιρε τῷ Παλαμήδει ξυνασπίζοντι καὶ ἀπάγοντι μὲν αὐτὸν τῆς φορᾶς, ὑποτιθεμένῳ δὲ ὡς χρὴ μάχεσθαι».

Ἰώσηπ. Ἰουδ. Ἀρχαιολ. Ε', α', 16 «συνασπίσαντας δὲ αὐτοῖς διέγνωσαν δραδρᾶναι τὴν δύναμιν αὐτῶν» καὶ περὶ τοῦ Ἰουδ. Πολ. Γ', ζ', 28 «ζέον ἔλαιον ἐκέλευσε καταχεῖν τῶν συνησπικότων» καὶ Ϛ', β', 6 «Ῥωμαίους μὲν οὖν συνησπικότας καὶ κατὰ συντάξεις προπηδῶντας ἧττον ἔβλαπτεν ἄγνοια».

Θεμίστ. Λόγ. σελ. 70, 19 Δινδ. «ἴσα βαίνοντα, ἴσα φρονοῦντα, συνοπλοφοροῦντα, συνασπίζοντα, συνδρῶντα, οὐ φυλακῆς δεόμενον».

Ἰω. Χρυσόστ. Ὁμιλ. εἰς Ματθ. σελ. 602, Α' «ὅτι τὸ ἐναντίον τούτου ζητοῦμεν καὶ οὐ συνασπίζομεν ἀλλήλοις».

Λέ. Διάκ. σελ. 9,21 Βόνν. «τῶν δρυμῶν καὶ χηραμῶν ὑπεκδύντες καὶ ἐς φάλαγγα παραταξάμενοι καὶ συνασπίσαντες κατ' αὐτῶν ἐχώρουν» καὶ σελ. 78,4 Βόνν. «εἰς τρισμυρίων ἀνδρῶν συναγομένην φάλαγγα συνασπίσαντες ὑπηντίαζον».

Ἄνν. Κομν. Τόμ. Α', σελ. 131, 9 Βόνν. «οἱ δὲ συνησπικότες ἵσταντο πρὸς μάχην παρεσκευασμένοι καὶ ἀτρεμοῦντες τέως».

Γεώργ. Κεδρην. Τόμ. Β'. σελ. 330, 11 Βόνν. «μικροῦ δεῖν αἰχμάλωτος ἐγεγόνει, εἰ μὴ συνασπίσαντες οἱ θεράποντες τῆς αἰχμαλωσίας αὐτὸν ἐλυτρώσαντο».

Νικηφ. Γρηγ. Τόμ. Α', σελ. 297, 9 «Βόνν. «φιλοδωρότατος δὲ ὢν καὶ μηδὲν ἴδιον κτώμενος καὶ μηδὲν πλέον ἔχειν βουλόμενος τῶν ὅσοι τούτῳ συνασπίζοντές τε καὶ παρασπίζοντες ἦσαν ἐν ταῖς ἀκμαῖς τῶν ἀγώνων».

Ἰω. Κίνν. σελ. 129,3 Βόνν. «οἵπερ ὡς κατὰ παντὸς αὐτῷ ξυνασπίσωσι πίστεις ἔδοσαν φθάσαντες».

Μιχ. Ἀκομ. Τόμ. Α', σελ. 214, 18 Λάμπρ. «συνασπίζει δ' αὖ παρεπομένη συστράτηγος, ὅτε πρὸς μάχην ἐρρῶσθαι καιρός».

Εὐστάθ. Παρεκϐ. εἰς Ὅμ. σελ. 179, 6 «συνασπίζουσι γὰρ ὥσπερ τῇ πυκνώσει, καθὰ καὶ τὰ τῶν προβάτων ποίμνια» καὶ σελ. 426, 11 «ἡ δὲ καθ' ἱστορίαν ἀλληγορία βούλεται συνωμότας τινὰς ἑταίρους ἡλικιώτας τῷ Ἀλεξάνδρῳ συνασπίσαντας λάθρᾳ ὡς ἐν ἠέρι, ἤγουν ἀορασίᾳ, ἐκ μέσου θεῖναι αὐτόν» καὶ σελ. 863,41 «καὶ Ἀχαιοὶ δὲ μετὰ μικρὸν ἐπὶ τῷ Αἴαντι συνασπίσαντες, οὐκ αὐτοῦ καλέσαντος, ἦλθον» καὶ σελ. 911, 8 «ἤγουν ὁμοῦ ἀραρότες καὶ συνασπίσαντες».

Σχολ. Θουκυδ. σελ. 78,17 Διδ. «Ξυγκλήσαντες: συνασπίσαντες, πυκνωθέντες, συναχθέντες».

Φέρεται δὲ καὶ ἐν τῇ Βιβλιοθήκῃ τοῦ Φωτίου σελ. 366,22 «ᾔδει γὰρ ὡς πολλάκις ἡττηθεὶς ἀπῆλθε τοῦ πατρὸς παρόντος καὶ συνασπίζοντος» καὶ παρὰ τῷ Ἐφραιμίῳ 7007 (σελ. 284 Βόνν.) «καὶ

μή τινος τούτῳ γε συνησπικότος, οὕτω βασιλεῖ δόξαν ἐκ βασκανίας, τάχ' ἂν ἐκινδύνευσεν». Εὑρίσκεται δὲ καὶ ἐν τῷ λεγομένῳ Πρεσβευτικῷ Θεσσάλου Ἱπποκράτους Υἱοῦ (Ἱπποκράτ. Τόμ. Γ', σελ. 619 Ἑρμ.) «ξυνείπετο δὲ αὐτῷ ἐκ ποδὸς ξυνασπίζων ὁ ἀνὴρ ὁ Καλυδώνιος».

Ἐν τῷ Λεξικῷ τοῦ Ἡσυχίου κεῖται «Συνασπίζει: συμμαχεῖ» καὶ «Συνησπικότων: συμπραξάντων». Γίνεται δὲ μνεία ὑπὸ τοῦ Ἡσυχίου καὶ τοῦ μέλλοντος συνασπιεῖ.

Σημειωτέον δ' ὅτι τὸ περὶ οὗ ὁ λόγος ῥῆμα ἐπὶ μεταβατικῆς διαθέσεως εἶνε τεθειμένον ὑπὸ τοῦ Ἰωσήπου περὶ τοῦ Ἰουδ. Πολ. Δ', α', 5 «μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν τοὺς ἅμ' αὐτῷ τά τε σώματα καὶ τὰς πανοπλίας, ἐνυφίσταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον».

Τοῦ κατὰ τὴν μέσην φωνὴν ἐκφερομένου τύπου ἐγένετο χρῆσις ὑπὸ τοῦ Ζωσίμου σελ. 37, 2 Τευβν. «τοῖς στρατιώταις ἐνεκελεύσατο συνασπισαμένοις καὶ πυκνῇ τῇ φάλαγγι τὴν πρὸς τὸ ὄρθιον ἀνάβασιν ποιουμένοις τά τε βέλη καὶ τοὺς ὀλοιτρόχους, εἰ καὶ τούτους τυχὸν ἐπαφεῖεν, τῇ πυκνότητι τῆς φάλαγγος ἀποσείσασθαι» καὶ ὑπὸ τοῦ Θεοφάνους Χρονογρ. σελ. 375, 4 Λιψ. «καὶ Ἡράκλειος δὲ ἀπὸ Θρᾴκης δεδεμένος ἤχθη σὺν πᾶσι τοῖς συνασπιζομένοις αὐτοῖς ἄρχουσιν» καὶ ὑπὸ Γεωργίου τοῦ Κεδρηνοῦ Τόμ. Α', σελ. 227, 8 «οὓς Ἀχιλλεὺς μετὰ τῶν συνασπιζομένων αὐτῷ Ἀχαιῶν καταδιώξας τοὺς μὲν ζῶντας εἷλε, τοὺς δὲ εἰς τὸν Σκάμανδρον ποταμὸν ἐναπέπνιξε» καὶ ὑπ' Ἄννης τῆς Κομνηνῆς Τόμ. Α', σελ. 28, 13 «τοὺς δὲ λοιποὺς πυκνὰ συνασπισαμένους ἐμπίπτειν κατὰ τὸ καρτερώτατον» καὶ ὑπὸ Μιχαὴλ τοῦ Ἀκομινάτου Τόμ. Α', σελ. 20, 11 «καὶ δεῖ μοί τινος συνασπισομένου καὶ τῶν κατὰ τὴν μάχην συνεφαψομένου καὶ γενναίως ἐπικουρήσοντος».

Πρὸς τῷ ῥήματι συνασπίζειν ὑπάρχει καὶ τὸ συνασπιδοῦν ἀπαντῶν ἐν τοῖς Ἑλληνικοῖς τοῦ Ξενοφῶντος Γ', ε', 11 «καὶ νῦν γε, ἐὰν φανεροὶ γενώμεθα ἡμεῖς τε καὶ ὑμεῖς συνασπιδοῦντες ἐναντία τοῖς Λακεδαιμονίοις, εὖ ἴστε κτέ.» καὶ Ζ', δ' 23 «οἱ δ' Ἀρκάδες ἀθρόοι συνασπιδοῦντες». Κατὰ τὴν τρίτην τῶν περισπωμένων συζυγίαν εἶνε ἐσχηματισμένον καὶ τὸ ἐνασπιδοῦσθαι, οὗ τῷ μέλλοντι

ἐχρήσατο ὁ Ἀριστοφάνης Ἀχαρν. 368 «ἀμέλει μὰ τὸν Δί' οὐκ ἐνασπιδώσομαι». Σχολ. οὐκ ἐνασπιδώσομαι: ἀντὶ τοῦ οὐ καθοπλίσομαι, οὐκ ἀσπίδι περιβαλοῦμαι σεμνυνόμενος». Πρβ. καὶ Ἡσύχ. «Οὐκ ἐνασπιδώσομαι: οὐ καθοπλισθήσομαι».

Ἐπανερχόμενοι εἰς τὸ χωρίον τοῦ Σέξτου παρατηροῦμεν ὅτι οἱ ὁμοφρονοῦντες ἢ ὁμοδοξοῦντές τισι παρίστανται ἐν αὐτῷ ἐμφαντικώτερον ὡς συνασπίζοντες αὐτοῖς. Ἐπειδὴ δὲ τὸ συμφωνεῖν ἢ ὁμογνωμονεῖν σημαίνεται καὶ διὰ τοῦ συμπνεῖν λέγει ὁ Σέξτος σελ. 416,8 «πρὸς τούτοις καὶ ἀπὸ τῆς τοῦ κόσμου κινήσεως ἐπιχειροῦσι κατασκευάζειν τὴν τῶν θεῶν ὕπαρξιν οἵ τε ἀπὸ τῆς στοᾶς καὶ οἱ τούτοις συμπνέοντες». Πρὸς δήλωσιν δὲ τῆς ἐναντίας ἐννοίας τοῦ συνασπίζειν ἢ συμπνεῖν γίνεται ἐνίοτε χρῆσις ὑπὸ τοῦ Σέξτου τοῦ μάχεσθαι ἢ πολεμεῖν, οἷον σελ. 283, 6 «ἐπεὶ πρῶτον μὲν μαχΕσονται ἑαυτοῖς καὶ τῇ φύσει τῶν πραγμάτων οἱ στωικοί» καὶ σελ. 638, 29 «ἐπείπερ οἱ τεχνικοὶ μάχονταί τε καὶ εἰς αἰῶνα μαχΗσονται πρὸς ἀλλήλους» καὶ σελ. 327, 11 «οὔποτε πεπαύσονται περὶ αὐτῆς οἱ φυσικοὶ πρὸς ἀλλήλους πολεμοῦντες» καὶ σελ. 554, 28 «τὸν αὐτὸν τρόπον καὶ κατὰ κοινὴν πρόληψιν δοξάζοντες εἶναί τι ἀγαθὸν καὶ κακὸν οἵ τε ἰδιῶται καὶ οἱ φιλόσοφοι, ἀγαθὸν μὲν τὸ αἱροῦν αὐτοὺς καὶ ὠφελοῦν, κακὸν δὲ τὸ ἐναντίως ἔχον, κατ' εἶδος πρὸς ἀλλήλους πολεμοῦσιν». Πρβ. καὶ σελ. 293, 24 «εἰ γὰρ πᾶν ἄδηλόν ἐστιν ἀληθές, πρῶτον μὲν ἐχρῆν μὴ στασιάζειν τοὺς δογματικούς, οἷον τοὺς μὲν ἓν εἶναι λέγοντας στοιχεῖον, τοὺς δὲ δύο καὶ τοὺς μὲν ἀριθμητά, τοὺς δὲ ἄπειρα, οὐδὲ τὰς ἀλλήλων ψευδοποιεῖν δόξας» καὶ σελ. 312, 14 «περὶ δὲ τοῦ πότε ἀκολουθεῖ καὶ πῶς στασιάζουσι πρὸς ἀλλήλους, καὶ μαχόμενα τῆς ἀκολουθίας ἐκτίθενται κριτήρια» καὶ σελ. 553, 12 «εἰ δέ γε ἐκ τῶν προειρημένων ὅρων ἐδείκνυτο ὅ ἐστι τὸ ἀγαθόν, οὐκ ἂν ἐπεστασίαζον, ὡς ἀγνοουμένης τῆς τἀγαθοῦ φύσεως» καὶ σελ. 554, 19 «ὡς ἄρα πάντες ἄνθρωποι, καθάπερ ἔλεγε καὶ ὁ Αἰνησίδημος, ἀγαθὸν ἡγούμενοι τὸ αἱροῦν αὐτούς, ὁποῖον ἄν ποτ' ᾖ, μαχομένας ἔχουσι τὰς ἐν εἴδει περὶ αὐτοῦ κρίσεις· καὶ ὃν τρόπον συμφωνοῦντες, εἰ τύχοι, περὶ τοῦ εἶναί τινα σωματικὴν εὐμορφίαν περὶ τῆς εὐμόρφου καὶ καλῆς γυναικὸς στασιάζουσιν, τοῦ μὲν Αἰθίοπος τὴν σιμοτάτην καὶ μελαντάτην προκρίνοντος, τοῦ δὲ Πέρσου τὴν γρυποτάτην καὶ λευκοτάτην

ἀποδεχομένου, ἄλλου δὲ τὴν μέσην κατά τε τὸν χαρακτῆρα καὶ κατὰ τὴν χρόαν πασῶν καλλίονα λέγοντος» καὶ σελ. 387, 26 «ὅθεν καὶ ἀντικαθιστάμενοι τοῖς σκεπτικοῖς φασιν, κτέ.» καὶ σελ. 610, 1 «ἐν οἷς θετέον καὶ τὸν Ἐπίκουρον, εἰ καὶ δοκεῖ τοῖς ἀπὸ τῶν μαθημάτων διεχθραίνειν».

ΚΕΦ. ΙϚʹ.

Καίτοι θαυμάζοντες - καίτοι θαυμάζονται.

Γαλην. Τόμ. Αʹ, σελ. 55 «διόπερ ἔδοξέ μοι ζητῆσαι τὴν αἰτίαν, ἥτις ποτ' ἐστί, δι' ἥν, καίτοι θαυμάζονται ἅπαντες τὸν ἄνδρα, μήτ' ἀναγινώσκουσιν αὐτοῦ τὰ συγγράμματα μήτ', εἰ καί τῳ τοῦτο παρασταίη, συνίησι τῶν λεγομένων».

Πᾶς τις μὴ παντελῶς ἰδιώτης τῆς Ἑλληνικῆς φωνῆς ὢν κατανοεῖ παραχρῆμα ὅτι ἀτοπώτατ' ἐν τῇ ῥήσει ταύτῃ κεῖται τὸ ῥῆμα θαυμάζονται οὐδὲν ἄλλο ὂν ἢ ἡμαρτημένη ἀνάγνωσις τῆς μετοχῆς θαυμάζοντες· ἐκέλευσε δὲ καὶ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1876, σελ. 230 νὰ γραφῇ θαυμάζοντες ἀντὶ τοῦ θαυμάζονται. Ἐν τῇ Τευβνηρείῳ ἐκδόσει μικρῶν τοῦ Γαληνοῦ Συγγραμμάτων Τόμ. Βʹ, σελ. 3 εἶνε γεγραμμένη ἡ σημείωσις ἥδε «θαυμάζοντες U Cor. Cobet. in Mnem. IV 230 θαυμάζονται LMP edd».

Ὡς δ' ἐν τῷ προκειμένῳ χωρίῳ συνέταξεν ὁ Γαληνὸς τὸ καίτοι μετὰ μετοχῆς «δι' ἥν, καίτοι θαυμάζοντες ἅπαντες τὸν ἄνδρα, μήτ' ἀναγινώσκουσιν αὐτοῦ τὰ συγγράμματα κτέ.», οὕτω καὶ ἐν ἄλλοις πολλοῖς σφόδρα τῇ συντάξει ταύτῃ ἀσμενίζων, οἷον

Τόμ. Αʹ, σελ. 2 «καὶ τοῦ νεῖν οὐκ ἀνάσκητός ἐστι, καίτοι πεζὸς ὤν» σελ. 169 «ἀλλά, καίτοι τοῦ αὐτοῦ πάθους ὄντος, διαφόρῳ θεραπείᾳ χρώμεθα διὰ τὴν διαφορὰν τῶν αἰτιῶν». σελ. 345 «ἡ πιμελὴ δ' ὅμως αὐτοῖς, καίτοι γε ἰσχνοῖς οὖσι, παρέσπαρται τῇ σαρκί». σελ. 414 «ἓν εἶναί σοι καὶ ταῦτα φανεῖται πάντα, καίτοι γε οὐχ ἓν ὄντα». σελ. 423 «εἰ τοὺς δύο δακτύλους περιπλέξειας ἀλλήλοις, καίτοι γ' αἰσθητικοὺς ὄντας, οὐδεὶς ἕπεται πόνος κτέ.». σελ. 425 «καθάπερ καὶ τὸ ἡμέτερον σῶμα, καίτοι φανερῶς ὑπάρχον αἰσθητι-

κόν, ὅμως οὐκ αἰσθάνεται». σελ. 448 «ὀρθοῦν τὸν τοῦ Μελίσσου λόγον, καίτοι γ' ἄτοπον ὄντα δεινῶς καὶ παρὰ πᾶσαν ἐνάργειαν εἰρημένον». σελ. 519 «ἐπελάθοντό τε καὶ τελέως παρέλιπον, ὥσπερ μηδ' ὅλως οὖσαν, καίτοι μηδὲ φθέγξασθαί τι χωρὶς ἐκείνης ὑπὲρ τῶν ἄλλων δυνάμενοι». σελ. 660 «ὥσπερ οὐδὲ τοὔλαιον ἀνάπτει τὴν φλόγα, καίτοι γ' οἰκειοτάτη τροφὴ πυρὸς ὑπάρχον». σελ. 665 «καὶ χρώμενοι μεγάλα πρὸς αὐτῆς ὀνινάμεθα, καίτοι τῆς ἀμέτρου καιούσης ἡμᾶς»

Τόμ. Β', σελ. 22 «ὡς γὰρ ὑπὸ βοτανῶν οὐδ' ὅλως δυνάμεθα τρέφεσθαι, καίτοι τῶν βοσκημάτων τρεφομένων, οὕτως ὑπὸ ῥαφανίδων τρεφόμεθα μέν, κτέ.». σελ. 34 «ἀλλὰ καὶ πρὸς ταῦτ' ἀντιλέγειν οἱ νῦν Ἀσκληπιάδειοι πειρῶνται, καίτοι πρὸς ἁπάντων τῶν παρατυγχανόντων αὐτοῖς, ὅταν περὶ τούτων ἐρίζωσι, καταγελώμενοι». σελ. 44 «οὐ γὰρ ἐπιτρέπουσιν οἱ σοφισταὶ τῶν ἀξίων τι ζητημάτων προχειρίζεσθαι, καίτοι παμπόλλων ὑπαρχόντων». σελ. 45 «Ἐπίκουρος μὲν οὖν, καίτοι παραπλησίοις Ἀσκληπιάδῃ στοιχείοις εἰς τὴν φυσιολογίαν χρώμενος, ὅμως ὁμολογεῖ». σελ. 51 «ἅμα δ' ἀποπάλλεσθαι τοῦ μετ' αὐτὸ τεταγμένου, καίτοι κατὰ πᾶν ὁμοίου τὴν φύσιν ὑπάρχοντος». σελ. 53 «ἡμεῖς δ' ἐπειδή, καίτοι φεύγοντες ἀντιλέγειν τοῖς ἐν αὐταῖς ταῖς ἀρχαῖς εὐθὺς ἐσφαλμένοις, ὅμως ἠναγκάσθημεν ὑπ' αὐτῆς τῶν πραγμάτων τῆς ἀκολουθίας εἰπεῖν τινα καὶ διαλεχθῆναι πρὸς αὐτούς, ἔτι καὶ τοῦτο προσθήσομεν τοῖς εἰρημένοις». σελ. 63 «ἥν, καίτοι πάνυ σαφῶς ἀληθῆ γινώσκων ὑπάρχειν ὁ Ἐρασίστρατος, οὔτ' ἐμνημόνευσεν οὔτ' ἀντεῖπεν». σελ. 118 «τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἐρασίστρατος ὁμολογεῖ, καίτοι μὴ βουλόμενος». σελ. 175 «ὄψει καταπῖνον αὐτό, καίτοι τῆς περισταλτικῆς ἐνεργείας ἀπολωλυίας». σελ. 238 «οὐ μὴν τούς γε τὴν γαστροκνημίαν ἐργαζομένους ἕνα τίθενται, καίτοι δι' ἑνὸς τένοντος ὑπολαμβάνοντες ἐμφύεσθαι τῇ πτέρνῃ». σελ. 269 «ὥσπερ ἀμέλει καὶ ὁ τοῦ μεγάλου δακτύλου, καίτοι μικρὸς ὤν». σελ. 307 «καταφυόμενος δὲ εἰς τὸ κάτω τοῦ μικροῦ τροχαντῆρος οὐκ ἀρρώστῳ τένοντι, καίτοι σμικρὸς αὐτὸς ὤν». σελ. 331 «κοῖλος ὁ μεταξὺ φαίνεται τόπος τῶν ἐπὶ τῆς κεφαλῆς τῆς κνήμης κοιλιῶν, καίτοι γ' ὑψηλότερος ὤν». σελ. 347 «οὐ γὰρ ἀνάλογον ἔχει ταῖς προσηγορίαις τὰ κῶλα, καίτοι ταῖς κατασκευαῖς ἀνάλογον ἔχοντα». σελ. 470 «ὃν οὐκ ἐθεασάμην μὲν ἐγὼ ζῶντα, καίτοι

πᾶσι τοῖς Κοΐντου μαθηταῖς συγγενόμενος». σελ. 483 «ἐπιπεφυκέναι τὸν μῦν τόνδε τῷδε, καίτοι ἀποδέρεσθαι δυνάμενον». σελ. 524 «ἀλλὰ τό γε διάφραγμα διὰ ταῦτα τὰ ἐκπίπτοντα μόρια καὶ μέντοι διὰ τὰς ψόας οὐ συνέφυ τοῖς τῆς ῥάχεως σπονδύλοις ἐνταῦθα, καίτοι δεόμενον». σελ. 529 «ἀεὶ δὲ μᾶλλον εὐτραφέστεροι γίνονται, καίτοι γ' ἀπὸ λεπτῶν ἀρχόμενοι τῶν κεφαλῶν». Πρβ. καὶ σελ. 304 καὶ σελ. 448.

Τόμ. Ϛ', σελ. 792 «φαρμάκου δηλητηρίου πλησίον ἥκουσιν, ὥσπερ καὶ τὰ μόρα, καίτοι μετριώτερα τῶν Περσικῶν ὀνομαζομένων ὄντα καὶ τῶν κοκκυμήλων». σελ. 833 «ἐνδέχεται τοιαύτην τινὰ γενέσθαι φαντασίαν, καίτοι τῆς ἐν ὅλῳ τῷ σώματι διαθέσεως οὐκ οὔσης ὁμοίας». σελ. 851 «ἀλλ' οἴονται σοφόν τι πράττειν, καίτοι γε πλημμελοῦντες».

Τόμ. Ι', σελ. 753 «ὥσπερ ἀμέλει καὶ αὐτὰ τὰ τῶν ζῴων σώματα, καίτοι τὸ πλεῖστον τῆς ἑαυτῶν οὐσίας ὑγρὸν καὶ θερμὸν ἔχοντα, διαρκεῖ πάμπολυν ἐτῶν ἀριθμὸν ἄσηπτά τε καὶ ὑγιῆ». σελ. 764 «ἔσχατος γὰρ ἐν τῇ τῶν βοηθημάτων τάξει σκοπὸς ὁ ἀπὸ τοῦδε, καίτοι καθ' ἕτερον τρόπον ὑπάρχων πρῶτος». σελ. 783 «κατ' ἀρχὰς μὲν οὖν ὑπὸ τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν, καίτοι μᾶλλον τῶν πενήτων ἁλισκόμενοι ταῖς πληθωρικαῖς διαθέσεσιν». σελ. 799 «οὕτως οὖν καὶ τῷ καστορείῳ χρώμεθα, καίτοι γ' ἐπὶ τῶν ἄλλων οὐ χρώμενοι φλεγμονῶν». σελ 817 «κατὰ τοῦτον τὸν λογισμὸν καὶ ἡμεῖς αὐτοί, καίτοι μάλιστα πάντων ἐξιστάμενοι χρῆσθαι καρωτικοῖς φαρμάκοις, ἔσθ' ὅτε καὶ κωλικοῖς ἐδώκαμεν αὐτὰ κτέ.». σελ. 906 «πάντα γὰρ ἀνιαρὰ τὰ τοιαῦτα τοῖς ὀφθαλμοῖς, καίτοι κατὰ τὸ γένος ὄντα τῆς ἐνδείξεως». σελ. 1019 «ἔμενε δὲ κάτω, καίτοι τῶν ὑποχυμάτων μὴ μενόντων».

Τόμ. ΙΑ', σελ. 95 «ἑλκοῦται γὰρ πολλάκις ὑπὸ τῶν ἐπιτιθεμένων φαρμάκων τὸ δέρμα, καίτοι πολὺ σκληρότερόν τε καὶ δυσπαθέστερον ὑπάρχον τῶν σπλάγχνων». σελ. 153 «καὶ διὰ τοῦτο, καίτοι παρακειμένων ἀλλήλοις τοῦ στόματος τοῦ τε τῆς φλεβὸς καὶ τῆς ἀρτηρίας, ἐν τοῖς ἰδίοις ὅροις μένειν τὸ αἷμα μηδαμόθι τοῖς τοῦ πνεύματος ἐμβαῖνον ἀγγείοις». σελ. 161 «ἐπὶ γοῦν τῆς προειρημένης γυναικός, καίτοι τρομώδους οὔσης, οὐκ ἐμέλησε τέμνειν τὴν φλέβα». σελ. 170 «τοῦτο οὐκέτι πάντες γινώσκουσι, καίτοι σαφῶς Ἱπποκρά-

τους διδάξαντος». σελ. 210 «ὅτι κακῶς οὐκ ἔφθασεν ἐκκενῶσαι ταῦτα, καίτοι γινώσκων εὐθὺς ἐξ ἀρχῆς ὡς πληθωρικὴ διάθεσις εἴη περὶ τὸν ἄνθρωπον». σελ. 212 «ἀλλὰ κἂν τοῦτό τις αὐτοῖς συγχωρήσῃ, καίτοι φανερῶς ὂν ἄτοπον». σελ. 304 «ταῦτα μὲν ἐν παρέργῳ λελέχθω, καίτοι γ' οὐκ ὄντα πάρεργα, διότι τῇ τοῦ αἵματος ἐκ μήτρας φορᾷ συνεργεῖ». σελ. 313 «οὐ μὴν ἐφ' ἑτέρου γέ τινος μορίου πάσχοντος ἐχρήσαντο τῷ βοηθήματι, καίτοι τῶν πολλῶν δεομένων αὐτοῦ μᾶλλον ἢ φλεβοτομίας». σελ. 335 «ἡ μέλαινα χολὴ προτέρα τοῦ αἵματος ἕλκεται, καίτοι γε οἷον ἰλύς τις οὖσα τοῦ αἵματος, ὡς ἐν τοῖς οἴνοις ἡ τρύξ». σελ. 359 «ταῦτά τοι καὶ γράφειν ὤκνουν τὰς ὑποθήκας, καίτοι πάνυ χαρίζεσθαί σοι προῃρημένος». σελ. 369 «τὸ δὲ νᾶπυ, καίτοι γ' ἐπιτηδειότατον ὑπάρχον ὅσον ἐπὶ τὸ τέμνειν τοὺς χυμούς, ὡς ἁπτόμενον τῆς κεφαλῆς παραιτητέον». σελ. 408 «οὕτω γοῦν καὶ τοὔλαιον, καίτοι ῥᾳδίως ἐκφλογούμενον, οὐ πάνυ τι ταχέως οὐδ' ἐναργῶς ἡμᾶς θερμαίνει τῷ γλίσχρῳ καὶ παχυμερεῖ τῆς οὐσίας». σελ. 443 «συλλογίζονται στύφειν αὐτά, καίτοι μηδ' ἐλαχίστης μετέχοντα στύψεως». σελ. 516 «ἔτι τοίνυν ἐκ τοῦ μὴ βλάπτειν μηδ' ἐξαλείφειν αὐτὸ τὰ διὰ τοῦ μέλανος ἐν τοῖς βιβλίοις γραφόμενα, καίτοι τῶν γε ἄλλων ὑγρῶν ἁπάντων ἐξαλειφόντων, κτέ.». σελ. 517 «τὰ δ' αὐτὰ καὶ περὶ τοῦ μὴ καλῶς ἐλαίῳ δεύεσθαι τὴν γῆν, καίτοι τοῖς ἄλλοις ὑγροῖς βρεχομένην». σελ. 528 «ψυχροῦ δ' ὄντος τοῦ περιέχοντος, ἀλλήλους ἂν οἱ ἄνθρωποι θερμαίνειν λέγοιντο, καίτοι γε οὐ θερμαίνοντες ἀλλ' εἴργοντες τὸ ψυχρόν». σελ. 560 «ἀλλὰ γάρ, οὐκ οἶδ' ὅπως, καίτοι φυλαττόμενος ἀντιλογίας ἅψασθαι, πρὸς τῆς ἀναισχυντίας αὐτῶν ἠναγκάσθην». σελ. 576 «ἐπεί τοι καὶ τοῖς φακοῖς, καίτοι στῦψιν ἱκανὴν ἔχουσι κατὰ τὴν γεῦσιν, ὅμως ὑπάρχει τι τοιοῦτον» καὶ «καὶ γάρ τοι καὶ ὁ τῶν πρεσβυτέρων ἀλυκτρυόνων ζωμὸς ὑπάγει τὴν γαστέρα, καίτοι τῆς σαρκὸς σταλτικῆς οὔσης». σελ. 677 «ἀλλ' οὐ τό γε γάλα, καίτοι γλυκὺ πρὸς τὴν γεῦσιν ὑπάρχον». σελ. 680 «δριμὺ προσαγορεύειν εἰθίσμεθα, καίτοι πολλῶν ὄντων κατ' εἶδος τῶν τοιούτων σωμάτων». σελ. 688 «τούτων δ' ἔτι λεπτομερέστερα, καίτοι γεώδη ταῖς συστάσεσιν ὑπάρχοντα, τίτανός τε καὶ κανθαρὶς καὶ ὁ θαλάττιος λαγωός». σελ. 696 «δάκνει δ' αὐτὰς ἤδη τὸ ἄνθος τοῦ νίτρου, δάκνει δὲ καὶ τὸ ἀφρόνιτρον, οὐδὲν δὲ ἧττον καὶ τὸ νίτρον αὐτό, καίτοι γε ἧττον ἐκείνων ὑπάρχον θερμόν». σελ. 779

«οὐ μὴν ὠνόμασταί γε ὀξυήκοός τις δύναμις, ὥσπερ οὐδὲ κατὰ τὴν ὄσφρησιν ἢ τὴν γεῦσιν ἢ τὴν ἀφήν, καίτοι γε ἐν αὐτοῖς τοῖς αἰσθητοῖς πράγμασιν ἀναλόγως ὑπαρχούσης». σελ. 804 «ὡς ὁ θαυμασιώτατος Πάμφιλος, καίτοι ταύτην πρώτην πόαν γράφων κτέ».Πρβ. καὶ σελ. 844.

Τόμ. ΙΒ', σελ. 18 «λεπτομερέστερον μὲν γίγνεται τῆς ὅλης κεδρέας (κεδρίας), ἧττον δὲ δριμύ, καίτοι θερμαῖνον οὐχ ἧττον». σελ. 112 «δι' αὐτὸ γάρ τοι τοῦτο, καίτοι στῦφον, ὅμως οὐ σπάσματα μόνον ἀλλὰ καὶ ῥήγματα καὶ ὀρθόπνοιαν ὠφελεῖ». σελ. 175 «μηδὲν μετὰ ταῦτα παθόντων σύμπτωμα τῶν ἑπομένων λαγωῷ τε καὶ κανθαρίσι, καίτοι τῆς δόσεως τῶν ὀλεθρίων φαρμάκων ἐλεγχθείσης». σελ. 185 «διὰ τοῦτο μὲν οὖν, καίτοι γε πολλαῖς ψάμμοις χρυσοῦ καὶ ὑάλου ψηγμάτων περιεχομένων, οὐκ ἐπὶ πάσας οἱ περὶ ταῦτα δεινοὶ παραγίνονται». σελ. 191 «τούτους οὖν, ὡς ἔφην, ἡ ἐκ τῆς Ἀρμενίας βῶλος ἐναργῶς ὠφέλησε, καίτοι γ' ἐν Ῥώμῃ διατρίβοντας, ἔτι τε μᾶλλον τοὺς δυσπνοοῦντας συνεχῶς». σελ. 203 «οὐ μὴν ἐγὼ εἶδον ἐκεῖνον τὸν ποταμόν, καίτοι παραπλεύσας ὅλην Λυκίαν μικρῷ πλοίῳ τῆς ἱστορίας ἕνεκα τῶν ἐν αὐτῇ» σελ. 218 «— εὑρίσκουσι προσεσταλμένα, καίτοι γε γινώσκοντες ὡς εἰ βραχεῖ πλέον ἐπιθεῖεν, οὐ κατεσταλμένον ἀλλὰ καὶ καταβιβρωσκόμενον εὑρήσουσι τὸ ἕλκος». σελ. 228 «μετέχει γε μήν, καίτοι καίοντα, στύψεως» καὶ «ἧττον δ' ἐν τῷ προσφέρεσθαι ταῖς σκληραῖς σαρξὶ δάκνει τὸ μίσυ τῆς χαλκίτεως, καίτοι γε οὐχ ἧττον αὐτῆς ὂν θερμόν». σελ. 251 «ὁ γοῦν ἡμέτερος γενόμενός ποτε βασιλεὺς Ἄτταλος ἐλάττονα φαίνεται γράφων, καίτοι φιλοτιμότατα σχὼν περὶ τὴν τῶν τοιούτων πεῖραν». σελ. 357 «ταῦτα, καίτοι τῆς προκειμένης οὐκ ὄντα πραγματείας, ἔγραψα διὰ τὸ θαρρεῖν τῷ φαρμάκῳ». σελ. 396 «ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω, καίτοι γε οὐκ ὄντα πάρεργα». σελ. 443 «διὸ καὶ τὸν Ἀρχιγένη νομίζω, καίτοι σεμνότατον ὄντα, γεγραφέναι περὶ αὐτῶν ὧδέ πως αὐτοῖς ὀνόμασιν». σελ. 445 «φαίνεται δὲ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης πολλὰ καὶ δόκιμα φάρμακα τῆς κομμωτικῆς θεωρίας γεγραφώς, καίτοι μήπω τοσαύτης τρυφῆς κατεχούσης τὰς γυναῖκας, ὅση νῦν ἐστίν». σελ. 607 «διὰ τοῦτο δὲ γράφω πολλὰ παραδείγματα τῶν τοιούτων, καίτοι γε ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων τῆς δυνάμεως εἰρηκὼς πάντα». σελ. 821 «ὁ δ' Ἀρχιγέ-

νης ὀλίγων μνημονεύσας ἐφεξῆς αὐτῶν ἔγραψε τὴν διὰ χειρουργίας αὐτῶν θεραπείαν, καίτοι τῆς πραγματείας οὐ χειρουργικῆς ἀλλὰ τῶν περὶ τῶν κατὰ γένος φαρμάκων οὔσης;». σελ. 939 «περὶ δὲ τῶν χελιδόνων ἀμφότεροι γεγράφασιν ἀσαφῶς, καίτοι σαφῶς ἄλλων γεγραφότων, εἰ καὶ διαφωνοῦσιν ἀλλήλοις». σελ. 949 «ἰσχυρὸς δὲ οὐδενὸς ἧττόν ἐστι καὶ ὁ ἐκ τοῦ λέμματος τῶν καρύων, καίτοι γε οὐκ ὢν ἐν τῇ γεύσει στρυφνός». σελ. 971 «πλέον γὰρ αὐτὸς ἠγνόει τοῦ Ἀρχιγένους, καίτοι παρά τε τοῖς ἄλλοις παλαιοῖς εὐπορηκὼς τὴν χρῆσιν τῆς προσηγορίας κτέ.». σελ. 1002 «τί δή ποτ' οὖν ἠξίωσα δὶς γράψαι ταῦτα, καίτοι φυλαττόμενος οὕτως πράττειν;».

Τόμ. ΙΓ', σελ. 27 «τῆς μὲν γὰρ τοῦ μέλιτος δριμύτητος ἀνεχόμεθα, καίτοι καὶ αὐτῆς οὐκ οὔσης σφοδρᾶς διὰ τὴν ἄλλην αὐτοῦ χρείαν». σελ. 106 «τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς ἔλαττόν ἐστιν ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς, καίτοι διαστελλομένου τοῦ θώρακος ἐπὶ πλεῖστον». σελ. 272 «μηδενὸς τῶν ἄλλων ὀπῶν, καίτοι παμπόλλων ὄντων, κατὰ τὸ καλούμενον οὐδέτερον γένος ὀνομαζομένων». σελ. 463 «καὶ διὰ τοῦτο θαρραλεώτερον οἱ ἀπὸ τῆς ἐμπειρίας ἀποφαίνονται, καίτοι γε ἀδιανόητα λέγοντες». σελ. 559 «ἐγὼ δὲ καὶ τὴν ἔμπροσθεν ὁμοίως ὠνόμασα, καίτοι μέλαιναν ὑπ' αὐτοῦ κεκλημένην». σελ. 599 «δόξαν δ', οὐκ οἶδ' ὅπως, τῷ κατὰ τὴν πόλιν ἡμῶν ἀρχιερεῖ τὴν θεραπείαν ἐγχειρῆσαί μοι (γρ. ἐγχειρίσαι μοι) μόνῳ τῶν μονομάχων, καίτοι νέῳ τὴν ἡλικίαν ὄντι». σελ. 642 «οὔτε γὰρ παρ' Ἀσκληπιάδῃ τῷ φαρμακίωνι τὴν γραφὴν εὗρον οὔτε παρὰ Πετρωνᾷ οὔτε παρ' Ἀνδρομάχῳ, καίτοι πάντων τῶν πρεσβυτέρων ἰατρῶν ἄριστα φάρμακα γραψάντων». σελ. 661 «ἰσχυρῶς γὰρ ξηραίνει, καίτοι μετρίως δάκνον». σελ. 711 «ἔνια δὲ ὑπὸ μόνου λιβανωτοῦ, καίτοι μὴ σαρκοῦντος ἀλλὰ διαπυΐσκοντος ἐκείνας τὰς φύσεις». σελ. 848 «ὁ δ' Ἀσκληπιάδης, καίτοι μᾶλλον τοῦ Ἀνδρομάχου τοὺς ὁρισμοὺς εἰωθὼς προστιθέναι, παρέλιπεν ἐπὶ τῶν ἐπουλωτικῶν». σελ. 876 «εἰκότως οὖν κατὰ τὸ προκείμενον φάρμακον, καίτοι σκοπὸν ἔχοντος θερμῆναί τε καὶ ξηρᾶναι καὶ διὰ τοῦτο καὶ ψύδρακας ποιεῖν, ἐμίχθη τι καὶ τῶν στυφόντων». σελ. 892 «καὶ τῶν ἐμπειρικῶν ὀνομαζομένων ἔνιοι, καίτοι ἀξιόλογοι διὰ τῶν τῆς τέχνης ἔργων ὀφθέντες, ὅμως ἀγνοεῖν φασιν ᾧτινι λογισμῷ τῶν συνθέτων φαρμάκων ἕκαστον εὕρηται». σελ. 897 «καθάπερ οὐδ' ἡ τερμινθίνη ῥητίνη, καί-

τοι πολὺ πλαστικωτέρα κατὰ δύναμιν οὖσα τοῦ κηροῦ» (Πρβ. καὶ στίχ. 5). σελ. 900 «οὕτω τοι καὶ τῇ διὰ τῶν ἁλῶν ἐμπλάστρῳ διαφορητικῇ προσέθεσάν τινες χαλκάνθου βραχύ, καίτοι καὶ τῶν ἁλῶν αὐτῶν ἐχόντων τι στυπτικόν». σελ. 901 «διὰ τοῦτο καὶ οἱ ξηραντικοὶ κυκλίσκοι, καίτοι στύφοντες ἱκανῶς, ὅμως ἁρμόττουσι τοῖς γεγυμνωμένοις νεύροις». σελ. 912 «περὶ δὲ τῆς χαλκίτεως καὶ τῆς λεπίδος οὐδὲν ἔγραψε, καίτοι καὶ τούτων δυναμένων μετὰ τῆς θαλάττης λειοῦσθαι». Πρβ. καὶ σελ. 1009, 2.

Τόμ. ΙΔ΄, σελ. 23 «ἐθαύμασα θεασάμενος μέλι παραπλήσιον ἀκριβῶς Ἀττικῷ, καίτοι τοῦ ἄλλου μέλιτος ἀκριβῶς ἐν αὐτῷ φαυλοτάτου ὄντος». σελ. 73 «ἥν περ καὶ στάχυν ὀνομάζομεν νάρδου, καίτοι ῥίζαν οὖσαν». σελ. 74 «καλουμένην ὑπὸ τῶν πολλῶν, οὐκ οἶδ' ὅπως, ἄνθος σχοίνου, καίτοι γ' ἡμῶν οὐ πάνυ τι τοῦ ἄνθους εὐπορούντων». σελ. 76 «ἐν τῇ γεύσει τε τὴν στύφουσαν ποιότητα παντάπασιν ἀμυδρὰν ἢ οὐδ' ὅλως ἔχει, καίτοι γε ἰσχυρὰν ἔχοντος τοῦ ἀκμαίου ῥήου». σελ. 79 «εὑρήσεις δὲ τὴν πεδιάδα γενναιοτέραν, καίτοι τῶν πλείστων βοτανῶν ἐν τοῖς πεδίοις ἀσθενεστέρων γεννωμένων». σελ. 588 «κρείττω γοῦν διὰ ταῦτα καὶ τῶν βαρβαρικῶν διαλέκτων ἑτέραν ἑτέρας φαμέν, οἷον τὴν Περσίδα τῆς Αἰθιοπικῆς, καίτοι μὴ σημαίνουσαν ἡμῖν». σελ. 630 «καίτοι διαβουλευομένων γε πολλῶν ἀντειπεῖν, ὅπως ἀκουσθῶσιν αὐτὸ τοῦτο μόνον».

Τόμ. ΙΕ΄, σελ. 13 «ὀλίγοι τινὲς τῶν ἀπαιδεύτων, ὅσοι τῶν μὲν ἐν αὐτῷ γεγραμμένων ἀποδείξεων οὐδεμίαν ἠδυνήθησαν ἐλέγξαι, καίτοι γ' ἐπιχειρήσαντες, ἀπεπνίγοντο δὲ ὑπὸ τοῦ φθόνου κτέ.». σελ. 143 «πρὸς γὰρ αὖ τοῖς ἄλλοις, ὥσπερ τὴν καρδίαν ἀμνημόνευτον εἴασεν, οὕτω καὶ αὐτὴν τὴν κοίλην φλέβα, καίτοι τῶν γε σφαγιτίδων μνημονεύσας, εἰς ἃς αὕτη σχίζεται». σελ. 145 «ἀλλ' οὐδὲ κατὰ πολλοὺς τοῦ ἥπατος τόπους φαίνονται, καίτοι πάμπολλαι τὸν ἀριθμὸν οὖσαι». σελ. 185 «οὕτως γοῦν τινες ὀνομάζουσι τοὺς Γερμανοὺς ξανθούς, καίτοι γε οὐκ ὄντας ξανθούς, ἐὰν ἀκριβῶς τις ἐθέλῃ καλεῖν, ἀλλὰ πυρρούς». σελ. 322 «καίτοι τῶν κατὰ γαστέρα πεπονθότων καὶ τῆς διαθέσεως αὐτῶν ἐκ τῶν διαχωρημάτων γνωριζομένης, ὅμως καὶ τῶν οὔρων μνημονεύει, ὡς λεπτῶν ὄντων». σελ. 328 «τοῦτο δὲ οὐ πάντες ἰατροὶ γινώσκουσι, καίτοι σαφῶς Ἱπποκράτους καὶ τοῦτο καὶ ἄλλα πολλὰ διδάξαντος». σελ. 357 «τὸ γὰρ

ἡμέτερον σῶμα, καίτοι φανερῶς ὑπάρχον αἰσθητικόν, ὅμως οὐκ αἰσθάνεται πρὶν παθεῖν ὑπό τινος». σελ. 358 «τοῦτο δὲ οὐ πάντες εἰδέναι βούλονται, καίτοι κατὰ τόνδε τὸν λόγον εἰρηκότος τοῦ συγγραφέως». σελ. 461 «κατὰ τοῦτο μὲν οὖν καὶ τοῦ μελικράτου πολὺ κρεῖττόν ἐστιν ἡ πτισάνη, καίτοι τὸ εὐέκκριτον, ὅπερ ἐφεξῆς εἶπεν ὑπάρχειν αὐτῇ, παραπλησίως τῷ μελικράτῳ κεκτημένη». σελ. 472 «ξηρότερον νόσημα πολυειδῶς γνωρίζεται, καίτοι τόν γε καθόλου καὶ κοινὸν λόγον ἔχον τὸν αὐτόν». σελ. 511 «διὰ τοῦτ' ἀναβαλλόμεθα τὴν δόσιν αὐτῆς, καίτοι τοῦ σώματος ἤδη δεομένου». σελ.596 «διὰ τοῦτο καὶ τὸ πύον ἐπὶ ταῖς πεττομέναις φλεγμοναῖς γίγνεσθαί φησι, καίτοι μηδενὸς μορίου τὴν ἐκ πύου θρέψιν ἀναλαμβάνοντος». σελ. 597 «διὰ τοῦτο καὶ οὖρα τὰ ἄπεπτα πέττεσθαί φαμεν, καίτοι μὴ δυναμένου τοῦ σώματος ἐκ τῶν πεπεμμένων οὔρων τρέφεσθαι». σελ. 601 «ἀναγκαῖον γάρ ἐστι τηνικαῦτα διά τε τὴν στενοχωρίαν τοῦ διαφράγματος ἔλαττον εἰσπνεῖσθαι τὸ πνεῦμα, καίτοι διαστολὴν διαστελλομένου τοῦ θώρακος κτέ.». σελ. 633 «τό γε μὴν ὑπεροπτηθὲν εἰς πικρότητα μεταβάλλει, καθάπερ καὶ τὸ μέλι, καίτοι πάντων γλυκύτατον ὄν». σελ. 638 «τῶν δὲ κάτω ἐντέρων τὸν γλυκὺν οἶνον οὔ φησιν εἶναι βλαβερόν, καίτοι βραδυπόρου οὔσης τῆς ἀπ' αὐτοῦ φύσης καὶ χρονιζούσης περὶ ὑποχόνδριον». σελ. 649 «ζητήσαι δ' ἄν τις διὰ τί παρέλιπεν ὁ Ἱπποκράτης ἰδίᾳ περὶ τῶν τοιούτων οἴνων ἐν τῷ διηνυσμένῳ λόγῳ, καίτοι γε ἀλυποτέρων ὄντων τοῖς πυρέττουσιν ἤπερ οἱ ἄλλοι πάντες». σελ.736 «ὥσπερ οὖν ἡμεῖς, καίτοι τὸν λογισμὸν ἔχοντες ἐπιστατοῦντα ταῖς ὀρέξεσιν, — —ἠναγκάσθημεν ἐπί τι τῶν ἁλμυρῶν καὶ δριμέων ἀφικέσθαι ποτῶν». σελ. 762 «ἀλλ' ὅμως ἐγώ, καίτοι γινώσκων ταῦτα καὶ παρ' ἑτέρου μαθὼν οὐδενός, οὐκ ἔχω μαντεύεσθαι τίνα ποτὲ λέγει τὰ ἐπισπαστικὰ ῥοφήματα». σελ. 766 «οὐ φλεβοτομοῦμεν δ' ἀεί, καίτοι τῆς πληθωρικῆς συνδρομῆς γενομένης». σελ. 891 «τινὲς οὐχ ὑποσαρκίδιον ἀλλ' ἐπισαρκίδιον γράφουσιν, οὐ μὴν ἀνὰ σάρκα τε καὶ κατὰ σάρκα γεγραμμένον εὑρόν που, καίτοι καὶ τῶν νεωτέρων οὕτως ὀνομαζόντων». σελ. 903 «τὰ δ' ἄλλα παρέλιπε, καίτοι τὴν αὐτὴν δύναμιν ἔχοντα».

Τόμ. ΙϚ',σελ. 111 «καὶ τὴν φλεβοτομίαν ἐνίοτε, καίτοι μὴ παρούσης τῆς πληθωρικῆς συνδρομῆς, χρὴ παραλαμβάνειν». σελ. 457 «οὐκέτι πάντες γινώσκουσι, καίτοι Ἱπποκράτους σαφῶς διδάξαντος».

σελ. 510 «ἐγὼ μὲν γάρ, ὡς ἔφην, οὐκ ἤκουσα καλοῦντος οὕτως οὐδενός, καίτοι πολλῶν ἀκούσας ἰατρῶν λεγόντων δασέα βλέφαρα τὰ τραχύτητα ἔχοντά τινα μετρίως». σελ. 547 «ἀλλὰ καίτοι τούτων οὕτως ἐχόντων καὶ φαινομένης ἐναργοῦς τῆς τῶν ἀσαφῶν ἀχρηστίας, ὅμως οὐκ ὀλίγοι τῶν σαφῶν συγγραμμάτων ἥδιον ὁμιλοῦσι τοῖς ἀσαφέσι». σελ. 551 «ἀλλὰ καὶ βραχυπόται πάντως εἰσὶν οἱ φρενιτικοί, καίτοι διάθεσιν ἔχοντες θερμὴν καὶ ξηράν». σελ. 582 «προσέθηκε γοῦν τῷ λόγῳ καὶ πάνυ φρενιτικαί, καίτοι δυνάμενος ἁπλῶς φρενιτικαὶ εἰπεῖν». σελ. 583 «καὶ νῦν γοῦν προειπὼν αἱ ἐκ ῥίγεος νωθρότητες ἐπήνεγκεν οὐ πάνυ παρ' ἑωυτοῖσιν, καίτοι δυνάμενος εἰπεῖν οἱ ἐκ ῥίγεος νωθροὶ οὐ πάνυ παρ' ἑωυτοῖσιν». σελ. 634 «ἐκ τούτου δῆλόν ἐστιν ὅτι, τῆς διαθέσεως ἔτι μενούσης, ἀναίσθητός ἐστιν αὐτός, καίτοι γε ὀδυνηρᾶς οὔσης διαθέσεως». σελ. 666 «καὶ γὰρ ἡμεῖς ἱστορήσαμεν ἐνίοις τῶν ἡπατικῶν ἄδηκτα διαχωρήματα λεπτὰ γιγνόμενα, καίτοι δακνόντων ὡς τὸ πολὺ τῶν τοιούτων διαχωρημάτων». σελ. 678 «ἐν δὲ τῷ προρρητικῷ τούτῳ, καίτοι πολλάκις φάρυγγος μνημονεύσας ὁ γράψας τὸ βιβλίον, οὐδὲν ἡμᾶς σαφὲς οὐδὲ διηρθρωμένον ἐδίδαξε περὶ τῶν κατὰ ταῦτα παθῶν». σελ. 719 «ἐξίστασθαι δέ, ὅπερ ἐστὶ παρακόπτειν σφοδρῶς, τούτους φησί, καίτοι μηδενὸς σημείου γενομένου τῆς ἐκστάσεως». σελ. 725 «περὶ σπασμοῦ λόγον πεποίηται οὐδένα, καίτοι τραχήλου πόνον εἰρηκὼς γεγονέναι μετὰ κώματος». σελ. 748 «διττὸν γὰρ ἁμαρτάνειν τρόπον αὐτούς, ἢ τῶν αἰσθητῶν οὐκ αἰσθανομένους, καίτοι σὺν ὀδύνῃ γιγνομένων πολλάκις, ἢ τῶν μὴ αἰσθητῶν αἰσθάνεσθαι δοκοῦντας». σελ. 820 «ἀλλ' οὐκ ἐτόλμησεν ἀποφήνασθαι περὶ αὐτῶν, καίτοι γε εἰωθὼς ἐπὶ τῶν κατὰ μέρος ὡς πολλάκις καθόλου ἀποφάσεις γράφειν».

Τόμ. ΙΖ', α', σελ. 25 «τέσσαρας μόνας διαφορὰς καταστάσεων γράψας, καίτοι παμπόλλων οὐσῶν». σελ. 66 «καίτοι μακρότερα γενόμενα καὶ μετὰ πυρετῶν, ὅμως εὐφόρως ἠνέχθη». σελ. 99 «τῶν προσηκόντων βοηθημάτων τῆς εὑρέσεως ἠπόρει, καίτοι δι' αὐτὸ τοῦτο χρησίμης οὔσης ἀνεγνῶσθαι τῆς γενέσεως τῶν ἐπιδημιῶν (γρ. ἐπιδημίων) νοσημάτων». σελ. 137 «μεμνῆσθαι δὲ χρὴ πάλιν ὅτι καὶ νῦν ἀποστάσεις ἐπὶ στραγγουρίαν ἔφη γεγονέναι, καίτοι κατ' ἔκρουν, οὐ κατ' ἀπόθεσιν τῶν λυπούντων χυμῶν ἀποχωρησάντων ὅλου τοῦ σώματος». σελ. 992 «οὐδὲν μὲν ἐγκαλεῖ περὶ τῆς γραφῆς, καίτοι γ'

ἀπόρου καὶ ταύτης τῆς λέξεως φαινομένης αὐτῷ». σελ. 1005 «διότι, καίτοι γ' ἀπορίας οὔσης περὶ τὴν ἐξήγησιν, ὅμως οἱ παλαιότατοι τῶν ἐξηγητῶν ἐν ταύταις ὁμολογοῦσιν».

Τόμ. ΙΖ', ϐ', σελ. 9 «ταῦτα ἠξιώσατέ με τὰ ὑπομνήμαθ' ὑμῖν ποιήσασθαι, καίτοι μὴ προῃρημένον». σελ. 26 «ἀλλ' ὅμως οἱ περὶ τὸν Σαϐῖνον ἐπὶ τῶν ἀρχομένων ἀφροδισιάζειν τὸν λόγον αὐτῷ εἶναί φασι, καίτοι μνημονεύσαντος ὀνομαστὶ τοῦ Ἱπποκράτους ἑνὸς ἀνθρώπου τοῦ Δαμαγόρου». σελ. 47 «ὅτι μήτε Ἱπποκράτης ἔγραψε, καίτοι δυνάμενος κτέ». σελ. 90 «σαφῆ τ' εἶναι νομίζουσι, καίτοι διαφωνοῦντες ἐν ταῖς ἐξηγήσεσιν». σελ. 169 «ὅταν ᾖ τὸ περιέχον ψυχρὸν ὡς ἐν χειμῶνι, καίτοι διὰ τῆς ἡμέρας οὐ δεόμενος τούτων». σελ. 234 «ὃ παρορῶσιν οὐχ οἱ πολλοὶ μόνον ἀλλὰ καὶ τῶν ἰατρῶν οἱ πλείονες, καίτοι καθ' ἑκάστην ἡμέραν γινόμενον» καὶ «ἐὰν γοῦν ἐθελήσῃ κάμψαι τι τῶν κώλων, αὐτίκα τοῦτο ποιεῖ, καίτοι μὴ γινῶσκον ἐκεῖνον τὸν μῦν, ὑφ' οὗ κάμπτεται». σελ. 291 «ἐπισκέψασθαι παρέλιπον οἱ ἐξηγηταί, καίτοι διαφορὰν ἐχούσας οὐ σμικράν» σελ. 357 «καίτοι δυνάμενος εἰπεῖν· ἢν μὲν ὅσα δεῖ καθαίρεσθαι καθαίρηται, κτέ.». σελ. 365 «μάθοιμεν δ' ἂν τοῦτο μάλιστα παρὰ τῆς ἀθλητικῆς εὐεξίας, ἧς, καίτοι τἆλλα κεκτημένης οὐ μεμπτά, — ὅμως τοῦτό γε αὐτὸ μέγιστόν ἐστι αὐτοῖς κακόν». σελ. 393 «ὅθεν εἰκότως καὶ ἡ τοῦ νοσήματος ὅλου λύσις εἰς τὴν λδ' ἐξετάχθη, καίτοι τῶν τε πλευριτικῶν ὡς τὰ πολλὰ τὴν ιδ' ὅρον ἐχόντων τῆς κρίσεως». σελ. 406 «ἁπάσας γοῦν τὰς νόσους ὀνομάζουσι μεγάλας τε καὶ μικράς, καίτοι γε οὐκ οὔσας οὐσίας». σελ. 413 «ὥσπερ γὰρ αἱ λυχνιαῖαι φλόγες, καίτοι τροφὴν ἔχουσαι τοὔλαιον, ὅμως, ἐὰν ἀθρόως τις ἐπιχέῃ, σβέννυνται μᾶλλον ἢ τρέφονται». σελ. 470 «διακοπτομένων οὖν τῶν ὕπνων ὑπὸ τῆς ταραχῆς ἐναργῶς ἡ δυσφορία διαγινώσκεται, καίτοι τῆς ἡμέρας ὁμοίαν ἐχούσης ταραχήν». σελ. 490 «τοὺς γὰρ ἐφημέρους πυρετούς, καίτοι ταχέως παυομένους, οὐ καλοῦσιν ὀξέα νοσήματα». σελ. 511 «πλὴν ὅτι ταύτην ἑϐδομάδα συνάπτει τῇ ϐ', καίτοι τὴν δευτέραν ἀποχωρίσας τῆς α'». σελ. 531 «ὁπότ' οὖν οὐ κατέσχεν ἡ ὥρα τὸ μέγεθος τῆς αἰτίας, καίτοι βοηθὸν ἔχουσα τὴν ὑγίειαν, ἦ πού γ' ἂν ἐν τῇ νόσῳ κινήσειεν αὐτήν» καὶ «καθάπερ οὐδὲ τὸ βράγχους καὶ κορύζας τοῖς σφόδρα πρεσϐυτέροις μὴ πεπαίνεσθαι, καίτοι γε οἰκεῖα παθήματα τῆς τῶν γερόντων ἡλικίας ὄντα». σελ. 542 «καὶ δι' αὐτό γε τοὐπίπαν

ἅπαντες οἱ μύες ἐπὶ τῶν ἀποπλήκτων ἐνεργοῦσιν οἱ κινοῦντες τὸν θώρακα, καίτοι πρόσθεν ὀλιγάκις ἐνεργοῦντες ἅπαντες». σελ. 579 «διὰ τί μήτ' ἐν αὐτῷ τῷ χειμῶνι μήτ' ἐν τῷ ἦρι κατὰ τὴν τοιαύτην κατάστασιν ἐπιδημεῖν φησι νοσήματα, καίτοι γε ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν κατ' αὐτὴν τὴν βεβλαμμένην ὥραν ἐν Κρανῶνι λέγων γενέσθαι τοὺς ἄνθρακας». σελ 628 «ἀλλὰ τάς γε μὴν τῶν ὤτων ὑγρότητας ἐν παθήμασι τίθεται, καίτοι τάς γε τῆς ὑπερῴας καὶ τῆς ῥινὸς οὐ τιθέμενος». σελ. 642 «ἐπιληψίαι δέ, καίτοι κακῶς διαιτωμένοις αὐτοῖς, ὅμως οὐ γίγνονται πολλαί». σελ. 688 «ἤτοι δυσίατος ἢ παντάπασιν ἀνίατός ἐστι, καίτοι διὰ παντὸς ἐπικείμενον αὐτῷ φάρμακον ἔχειν δυνάμενος». σελ. 792 «οὐ μὴν σαφῶς γέ τι λέλεκται, καίτοι δοκοῦν εἶναι σαφὲς τοῖς ἀμελέστερον ἀκούουσι». σελ. 810 «οὕτω δὲ καὶ τῶν ἑρπήτων τοῖς ἀναβιβρωσκομένοις, καίτοι ὑπὸ χολώδους καὶ θερμοῦ χυμοῦ γιγνομένοις». σελ. 824 «ἔνιοι δὲ ἐπὶ μόνων ἐκείνων, αἷς ἕπεται πάθος, ὃ προσαγορεύουσιν ὑστερικὴν πνῖγα, καίτοι γε οὐ πνῖγα κατ' ἀλήθειαν οὖσαν ἀλλ' ἄπνοιαν» σελ. 874 «καλῶς δ' εἶπεν ὑποχόνδρια μετέωρα, καίτοι δυνάμενος εἰπεῖν ἐμπεφυσημένα καὶ φυσώδη». Πρβ. καὶ σελ. 134.

Τόμ. ΙΗ', α', σελ. 41 «ἐν ᾧ μηδὲν ὅλως ἐνοχλοῦνται, καίτοι τῆς φυσικῆς ἀσθενείας διὰ παντὸς ὑπαρχούσης αὐτῇ». σελ. 98 «ἐν σχήματι λέξεως τὸ διηνεκὲς ἐνδεικνύμενον, καίτοι γε οὐκ ἀποβαινόντων ἀεὶ τῶν πραγμάτων ὡσαύτως». σελ. 166 «σῴζονται γοῦν ἔνιοι καὶ τῶν ὑδερικῶν, καίτοι τῆς τοιαύτης χώρας αὐτοῖς ὕδατος ἐμπλησθείσης». σελ. 247 «εὐδοκιμοῦσι παρὰ τοῖς πολλοῖς οἱ τολμηρότατοι, καθάπερ ὁ Θέσσαλος, ὧν (Helm. δι' ὧν) ἔγραψε λοιδορηθεὶς Ἱπποκράτει, καίτοι βιβλίον ἓν συνθείς, ἐν ᾧ, καθάπερ οἴεται, τοὺς ἀφορισμοὺς ἐξελέγχει». σελ. 269 «καίτοι θεασαμένου καὶ δείξαντος αὐτὰς τοῦ Θεσσάλου τῷ λαμπροτάτῳ χορῷ τῶν ἀμφ' αὐτὸν ἰατρῶν, ὅμως οὐδεὶς οὐδενὶ συνεφώνησε». σελ 309 «καίτοι δυνάμενός τι λέγειν, οὐκ ἐθέλω εἰπεῖν» (Πρβ. καὶ στίχ. 4). σελ. 387 «ὥσπερ γὰρ ἐν τῇ μασχάλῃ, καίτοι γε ὑποκειμένων νεύρων μεγίστων καὶ σὺν αὐτοῖς ἀρτηρίας καὶ φλεβὸς εὐρυτάτης, ὅμως ἐκέλευσε καίειν τὸ δέρμα» σελ. 414 «τροπικοῖς ὀνόμασι καὶ γλωσσηματικοῖς εἴωθεν ὁ Ἱπποκράτης ἐννοιῶν (Λοβ. ἐνίοτε) χρῆσθαι, καίτοι πολιτικὴν ἑρμηνεύων ἑρμηνείαν». σελ.446 «ὥσπερ καὶ οἱ ἄλλοι μύες

οἱ καθ' ὅλον τὸ σῶμα, καίτοι τούτων ὄντες ἀκυρότεροι». σελ. 631 «ἐπὶ τῶν κατὰ φύσιν μυῶν οὐδὲν ἐκφύεσθαι τοῦ μηροῦ, καίτοι πολλῶν ὄντων». σελ. 654 «διὰ τί δὲ ταῦτα πέπαυται, καίτοι κατὰ τὴν αὐτὴν χώραν μενούσης τῆς κεφαλῆς τοῦ μηροῦ καὶ θλιβούσης τε καὶ τεινούσης ὁμοίως τὰ νεῦρα, διδάξει τε κτέ.». σελ. 695 «καλεῖ γὰρ οὕτως αὐτὸς ἐν τῷ περὶ ἑλκῶν αὐτά, καίτοι παρηγορικὰ τῶν φλεγμαινόντων ὄντα». σελ. 708 «νῦν γοῦν τὴν κνήμην ἐν τῇ πρὸς τῶν σφυρῶν διαρθρώσει φησὶν ἐξίσχειν ἐνίοτε, ποτὲ μὲν ἔξω τῆς διαρθρώσεως, ποτὲ δ' εἴσω, καίτοι κατὰ τὴν ἑξῆς ῥῆσιν οὐ τὴν κνήμην ἀλλὰ τὸν μηρὸν ἐξίσχειν λέγων εἰκότως». Πρβ. καὶ σελ. 139.

Τόμ. ΙΗ',β', σελ. 1 «ἐδέησε δ' αὐτῷ τοῦ προοιμίου κατὰ τοῦτο τὸ σύγγραμμα, καίτοι γε οὐ πάνυ τι προοιμίοις χρωμένῳ». σελ. 12 «ὁ δὲ κἀνταῦθα τὸ δοκέει μοι προσέθηκε, καίτοι μέλλων ἀποδείξεις γράφειν τῆς ἀποφάσεως». σελ. 14 «οὐ μὴν ὀνομάζουσί γε προδόξασιν οἱ Ἕλληνες, ὥσπερ οὐδ' οἱ περὶ τὸν Ἡρόφιλον αὐτοί, καίτοι πλεῖστα βαρβαρίζοντες». σελ. 15 «ἐσκώπτετο συνεχῶς ὑπὸ τοῦ παρὰ τῷ Πλάτωνι Σωκράτους, καίτοι γε τἆλλα ἐπαινούμενος». σελ. 21 «ἐν μέντοι τῷ προγνωστικῷ τῷδε παρέλιπε, καίτοι ταύτης τῆς θεωρίας ὄντα». σελ. 172 «τὸν δ' ἕτερον, οὐ κἂν τοῖς ἀφορισμοῖς ἐμνημόνευσε, παραλελεῖφθαι, καίτοι μεγίστην ἔχοντα δύναμιν». σελ. 204 «οἱ μὲν οὖν δάκτυλοι, καίτοι καταψυχόμενοι τοὐπίπαν ἐπὶ τῶν χρονίως νοσούντων, ὅμως ἐν πᾶσι τοῖς ἑκτικοῖς πυρετοῖς θερμοὶ διαμένουσιν» σελ. 305 «ὁπόση δ' ἐστὶ καὶ τούτων αὐτῶν ἡ χρεία, καίτοι δοκούντων ἐν τοῖς καθόλου περιέχεσθαι, λεχθήσεται κατὰ τὰ τῶν ἐπιδημιῶν ὑπομνήματα». σελ 469 «καὶ θαυμάζω πῶς οὐκ ἀρκεῖται ταύτῃ μόνῃ, καίτοι γιγνώσκων τε καὶ χρώμενος ἐπὶ τῶν τοιούτων αὐτῇ». σελ. 504 «ἀλλὰ καίτοι τούτων ἀσφαλῶς παρασκευαζομένων τοῖς ἰατροῖς, ὅμως ἡ κατὰ τὰς διαρθρώσεις κίνησις οὐ κωλύεται». σελ. 653 «τοῖς τοῦτον τὸν τρόπον ἐξηγουμένοις ἐναντιοῦσθαι δοκεῖ τὸ παραλελεῖφθαι τὴν ὄσφρησιν τοῦ ἰατροῦ, καίτοι χρωμένου αὐτοῦ πρὸς πολλά». σελ. 717 «ἀναμνησθῶμεν δὲ καὶ ὅτι τὰς χεῖρας ὁμοίας εἶπε, καίτοι ἀπαραλλάκτους οὔσας τῷ εἴδει». σελ. 730 «ἐπὶ μέντοι τῶν πλείστων οὐδὲ καλῶς νοήσαντες ἐτόλμησαν μεταγράψαι, διὰ τοῦτο νῦν αὐτῶν ἐμνημόνευσα, καίτοι μυρία τῶν ἔμπροσθεν ἄχρι τοῦ δεῦρο μεταγεγραφότων οὐ μνημονεύσας». σελ. 915 «ὁ δὲ Ἱπποκράτης οὐκ ἐμνη-

μόνευσεν ὅλως ἐν τούτῳ τῷ βιβλίῳ φαρμάκου, καίτοι μνημονεύσας ἐνίων παθῶν». Πρβ. καὶ σελ. 340 καὶ σελ. 1088, 8.

Τόμ. ΙΘ΄, σελ. 3 «πλὴν οὐκ ἐδεῖτο λιπαρῶς βοηθῆσαι αὐτῷ, καίτοι φοβερώτατος ἔμπροσθεν ὤν». σελ. 13 «βάσκανος δὲ καὶ φιλόνικος ἱκανῶς ἦν ὁ ἀνὴρ οὗτος, καίτοι πλείω γεγονὼς ἐτῶν ο΄». σελ. 60 «ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἰρήσθω, καίτοι οὐκ ὄντα πάρεργα».

ΚΕΦ. ΙΖ΄.

Ἀνδρίον - ἀνδρεῖον καὶ ἀνδρίοις - ἀνδρείοις.

Παρὰ τῷ Προκοπίῳ Τόμ. Β΄, σελ. 409, 1 Βόνν. ἀπαντᾷ «ἔτι μᾶλλον ἠρέθιζέ τε καὶ λόγων ἐνέδραις τὸν ἄνθρωπον καταλαβὼν ἐκάκιζεν, οὔτε νύκτα οὔτε ἡμέραν τινὰ ἀνιείς, ἀνδρεῖόν τε καὶ ἀνδρόγυνον ἀπὸ καιροῦ γεγονότα ὠνείδιζεν» καὶ Τόμ. Γ΄, σελ. 59, 25 «τέως μὲν οὖν ἄωρος οὖσα ἡ Θεοδώρα ἐς κοίτην ἀνδρὶ ξυνιέναι οὐδαμῇ εἶχεν οὐδὲ οἷα γυνὴ μίγνυσθαι· ἡ δὲ τοῖς κακοδαιμονοῦσιν ἀνδρείοις τινὰ μισητίαν ἀνεμίσγετο (γρ. ἐμίσγετο), καὶ ταῦτα δούλοις, ὅσοι τοῖς κεκτημένοις ἑπόμενοι ἐς τὸ θέατρον πάρεργον τῆς οὔσης αὐτοῖς εὐκαιρίας τὸν ὄλεθρον τοῦτον εἰργάζοντο».

Γελοιότατα μὲν συνάπτονται τὰ ἐναντίαν ἔννοιαν ἐμφαίνοντα ὀνόματα ἀνδρεῖον καὶ ἀνδρόγυνον, τουτέστιν ἀνδρεῖον καὶ γύννιν ἤτοι θηλυδρίαν, γελοιότατα δὲ λέγεται «τοῖς κακοδαιμονοῦσιν ἀνδρείοις—— καὶ ταῦτα δούλοις». Ἐν τῷ πρώτῳ χωρίῳ φέρεται καὶ γραφὴ ἄνανδρον, ἣν ὑπέλαβέ τις πρόσφορον πρὸς ἐπανόρθωσιν τοῦ κακῶς ἔχοντος. Οὐδαμῶς ἡμεῖς ἀμφιβάλλομεν ὅτι τοῦ ἐκ τοῦ ὀνόματος ἀνήρ παρηγμένου ὑποκοριστικοῦ χρῆσιν ὁ Προκόπιος ποιησάμενος εἶπεν «ἀνδρίον τε καὶ ἀνδρόγυνον ἀπὸ καιροῦ γεγονότα» καὶ «τοῖς κακοδαιμονοῦσιν ἀνδρίοις».

Ὀλίγα δὲ μαρτύρια τοῦ ὑποκοριστικοῦ ἀνδρίον ἔχομεν· ἓν μὲν ἐκ τοῦ Θεοκρίτου, ἓν δ' ἐκ τοῦ Ἀριστοφάνους, ἓν δ' ἐκ τοῦ Εὐπόλιδος. Ἐλέχθη δ' ὑπὸ μὲν τοῦ Θεοκρίτου Εἰδυλλ. Ε΄, 40 «ὢ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον αὔτως» (Σχολ. «Ἀνδρίον: ἀνδρά-

ριον ὑποκοριστικῶς, ἀνθρωπάριον δυσγενὲς καὶ ἀνελεύθερον»). ὑπὸ δὲ τοῦ Ἀριστοφάνους Εἰρ. 50 «ἐγὼ δὲ τὸν λόγον γε τοῖσι παιδίοις καὶ τοῖσιν ἀνδρίοισι καὶ τοῖς ἀνδράσι καὶ τοῖς ὑπερτάτοισιν ἀνδράσιν φράσω»· τὸ δὲ χωρίον τοῦ Εὐπόλιδος μνημονεύεται ὑπὸ τοῦ Εὐσταθίου ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1680, 27 λέγοντος «Ἀττικοὶ δὲ ἅπαντες τὸ ἴσθι καὶ ἐπὶ τοῦ ὕπαρχε τάττουσιν. Εὔπολις· μὴ τρηχὺς ἴσθι· καί· ὦ δαιμόνι' ἀνδρῶν, μὴ φθονερὸν ἴσθ' ἀνδρίον», ἤγουν μὴ φθονερὸς ἔσο ἄνθρωπος. Καὶ ὅρα τὸ ἀνδρίον ὑποκοριστικῶς γενόμενον ἐκ τοῦ ἀνδρὸς κατὰ τὸ χρυσός χρυσίον καὶ χαλκός χαλκίον παρὰ τῷ κωμικῷ καὶ φανός φανίον· κοινότερον δὲ τοῦ ἀνδρίον τὸ ἀνδράριον». Περὶ τῆς Ἰωνικῆς ἐκφορᾶς τρηχύς ἴδε Κόκκιον ἐν τῇ συναγωγῇ τῶν Ἀποσπασμάτων τῶν Ἀττικ. Κωμικῶν Τόμ. Α', σελ. 343).

Ὁμοίως τῷ ἀνήρ-ἀνδρίον-ἀνδράριον εἶνε ἐσχηματισμένα τὸ παῖς-παιδίον-παιδάριον καὶ πῶλος-πωλίον-πωλάριον καὶ βῶλος-βωλίον-βωλάριον καὶ μόσχος-μοσχίον-μοσχάριον καὶ οὖς-ὠτίον-ὠτάριον καὶ κλών-κλωνίον-κλωνάριον καὶ δέλτος-δελτίον-δελτάριον καὶ σμίλη-σμιλίον-σμιλάριον καὶ χάρτης-χαρτίον-χαρτάριον, κτλ. Πρβ. καὶ ἄνθρωπος-ἀνθρώπιον-ἀνθρωπάριον καὶ λέβης-λεβήτιον-λεβητάριον· ἔτι δὲ γυνή-γύναιον-γυναικάριον. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 1686, 52 «Ἀθήναιος δὲ ὁ ταῦτα παραδοὺς καὶ φάριον οἶδε διὰ τεσσάρων, ἤγουν τετρασυλλάβως, ὡς καὶ σταμνάριον καὶ σταμνίον, ἐξ οὗ καὶ Ζεὺς παρὰ τῷ κωμικῷ στάμνιος, παίζοντι τὰ συνήθη, ἔνθα σταμνίου Διὸς υἱὸν λέγει τὸν Διόνυσον». Παρατηρητέον ἐν παρόδῳ ὅτι Ζεὺς στάμνιος μνημονεύεται καὶ ἐν τοῖς εἰς Ἀριστοφάνη Σχολίοις σελ. 353,25 Διδ. «ὅτι δὲ ἀπὸ τῆς στάμνου ἢ τοῦ στάμνου καὶ Ζεὺς λέγεται στάμνιος δηλώσει που καὶ ὁ κωμικός», ἀλλ' ὀρθῶς λέγεται σελ. 275, 6 «υἱὸς Σταμνίου: Δέον εἰπεῖν υἱὸς Διός, Σταμνίου εἶπε παρ' ὑπόνοιαν, ἐπειδὴ ὁ οἶνος ἐν σταμνίῳ βάλλεται. Ὁ δὲ Διόνυσος εἰς τὸν οἶνον ἀλληγορεῖται —— Ἄλλως. Ἔπαιξεν, ἐπεὶ ὁ κέραμος ἐν ἑαυτῷ βαστάζει τὸν οἶνον, ὥσπερ παῖδα, καὶ τρέφει».

Ὡς δὲ λέγεται φθονερὸν ἀνδρίον, οὕτω καὶ πονηρὸν ἀνθρώπιον καὶ μιαρὸν ἀνθρώπιον καὶ πονηρὰ ἢ μοχθηρὰ ἀνθρώ-

πια. Θεμίστ. Λόγ. σελ. 320,5 Δινδ. «ὅτι πονηρὸν ἀνθρώπιον ἦν». Λουκιαν. Τίμ. 53 «ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας» καὶ Κατάπλ. 12 «ὦ μιαρὸν ἀνθρώπιον, πληγάς μοι πολλάκις οὐδὲν ἀδικοῦντι ἐνέτεινας». Ξενοφ. Ἀπομν. Β΄, γ΄, 16 «τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις ἢ εἰ δοίης τι» καὶ Κύρ. Παιδ. Ε΄, α΄, 14 «τὰ μοχθηρὰ ἀνθρώπια πασῶν, οἶμαι, τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστι» (Ἴδ. Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῆς Ἀριστοφάνους Εἰρήνης σελ. 163). Παρατηρητέον δ᾽ ὅτι εἶνε ὑπὸ τοῦ Ἀριστοφάνους εἰρημένον ἐν μὲν τοῖς Ἀχαρνεῦσι στίχ. 517 «ἀλλ᾽ ἀνδράρια μοχθηρά, παρακεκομμένα, ἄτιμα καὶ παράσημα καὶ παράξενα», ἐν δὲ τῷ Πλούτῳ στίχ. 415 «ὦ θερμὸν ἔργον κἀνόσιον καὶ παράνομον τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε, ποῖ ποῖ, τί φεύγετ᾽; οὐ μενεῖτον;».

Διὰ τῶν ὑποκοριστικῶν καταλήξεων, πολλῶν οὐσῶν, δηλοῦται ἡ ἔννοια τοῦ μικρός-μικρά-μικρόν. Γίνεται δ᾽ ὁ ὑποκορισμὸς καὶ χάριν κολακείας ἢ θωπείας, οἷον πατρίδιον, παππίδιον, ἀπφίδιον, μαννάριον, ὃ ὁ Κόβητος μετέβαλεν εἰς τὸ μαμμάριον, ἀδελφίδιον, δεσποτίσκος (Εὐρ. Κύκλ. 267 «ὦ κάλλιστον ὦ Κυκλώπιον, ὦ δεσποτίσκε;»), κτλ. καὶ Δημίδιον (Ἀριστοφ. Ἱππ. 726 «ἔξελθε δῆτ᾽, ὦ Δημίδιον, ὦ φίλτατον, ἔξελθ᾽, ἵν᾽ εἰδῇς οἷα περιϋβρίζομαι») Εὐριπίδιον, Σωκρατίδιον, Φειδιππίδιον, Πολυδεύκιον (Λουκιαν. Νεκρ. Διαλ. Α΄, 3 «τοῖς πλουσίοις δ᾽, ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελλε ταῦτα παρ᾽ ἡμῶν»), κτλ. Πολλάκις δὲ ὁ ὑποκορισμὸς εἶνε δηλωτικὸς χλευασμοῦ ἢ ἐξευτελισμοῦ ἢ καταφρονήσεως, οἷον ἑταιρίδιον, πορνίδιον, ῥηματίσκιον, μυθάριον, κυθρίδιον (Κλήμ. Ἀλεξ. Τόμ. Α΄, σελ. 215, 5 Δινδ), κτλ. Ὑπὸ τοῦ Δημοσθένους ἐρρήθη σελ. 314, 261 «ἐπειδὴ δ᾽ οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις» καὶ ὑπὸ τοῦ Λουκιανοῦ περὶ Παρασ. 42 «ἀλλ᾽ ἐντειχίδιοι ἐκάθηντο παρ᾽ αὐτοῖς ἤδη πολιορκούμενοι, γνωμίδια καὶ προβουλευμάτια συντιθέντες» καὶ ὑπὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως Τόμ. Β΄, σελ. 18, 22 «ζητήσεις ἐριστικὰς ἐκπορίζοντες λεξειδίων (λεξιδίων) θηράτορες (θηρητῆρες), ζηλωταὶ τεχνυδρίων, ἐριδαντέες καὶ ἱμαντελικτέες» (περὶ οὗ ἴδε Κόβητον ἐν τῷ Λογίῳ Ἑρμῇ 1867, σελ. 207 κέ.) καὶ σελ. 41, 1 «οὐχὶ συνθεῖναι τὰ λεξείδια (λεξίδια) καθ-

άπερ τὰ κόσμια», ἐν δὲ τοῖς Ἠθικοῖς τοῦ Πλουτάρχου σελ. 347, ς′ φέρεται «λέγεται δὲ καὶ Μενάνδρῳ τῶν συνήθων τις εἰπεῖν· ἐγγὺς οὖν, Μένανδρε, τὰ Διονύσια, καὶ σὺ τὴν κωμῳδίαν οὐ πεποίηκας; τὸν δ' ἀποκρίνασθαι· νὴ τοὺς θεοὺς ἔγωγε πεποίηκα τὴν κωμῳδίαν· ᾠκονόμηται γὰρ ἡ διάθεσις, δεῖ δ' αὐτῇ τὰ στιχίδια ἐπᾶσαι». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 339 «Themist. p. 307 — μηκέτι θαυμάζειν τε καὶ πιστεύειν ὡς ἄρα ὁ ΔΙΟΣ Ἑρμῆς καταλιπὼν τὸν Δία τε καὶ τὸν οὐρανὸν σαρκία μικρὰ περιθέμενος ἐν τῇ πόλει ἡμῖν περινοστεῖ, legendum; ὁ ΛΟΓΙΟΣ Ἑρμῆς —— Stoico et Cynico fastidio in tali re σαρκία nominari solent, ut σωμάτιον et ψυχάριον et quidquid habent isti despicatui. Itaque emendandum pag. 232. — ὅπως ἄν τις χαμαὶ βαδίζων καὶ CΑΡΚΙΑ ἠμφιεσμένος κτέ. pro σάρκα. Emendate scriptum est in Synesii *Dione* pag. 23 Reisk. ἀπαθεῖς εἶναι ποιούμενοι, θεοὶ σαρκία περικείμενοι, nisi quod pro ποιούμενοι corrigendum προσποιούμενοι» καὶ ἐν ταῖς εἰς Διονύσιον τὸν Ἁλικαρνασσέα Παρατηρήσεσι σελ. 59 «Pag. 424. πότερον οἴεσθε δεῖν περὶ βοϊδίων καὶ προβάτων ἁρπαγῆς ἄσπειστον πόλεμον φυλάττειν; Scribendum προβατίων. Contemptim enim loquitur *ob raptas buculas et oviculas*. Natura ipsa docet in tali re τὰ ὑποκοριστικὰ geminare, ut παιδάρια καὶ γύναια, non γυναῖκες. Sensit Reiskius qui προβατιδίων coniecit, sed usitata forma est προβάτιον, ut in *Vesp*. 955. οἷός τε πολλοῖς προβατίοις ἐφεστάναι. et alibi passim». Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Ναβήρου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1878, σελ. 244 «Lepidum est quod legitur (Alciphr.) 1. 33. 3. de meretricula, quae φανερῶς ποιήματα ᾖδεν εἰς τὸν οὐκέθ' ἡμῖν προσέχοντα ἐραστήν. Sapphus fuerunt ποιήματα, at illa ποιημάτια cantabat, nam sic deminutiva vocabula usurpantur ad contemptum significandum, veluti apud Isocratem c. Sophist. 4: λέγουσι μὲν ὡς οὐδὲν δέονται χρημάτων, ἀργυρίδιον καὶ χρυσίδιον τὸν πλοῦτον ἀποκαλοῦντες. Amat Alciphron eiusmodi vocabula; sic habemus 1. 36. 2: κτημάτιον, μισθωμάτιον et θεραπαινίδιον, quocirca reponam itidem 1. 37. 2: γραμματίδια μὲν οὖν καὶ θεραπαινιδίων διαδρομαί pro θεραπαινίδων —— Quod legitur apud Dionysium Halicarnassen-

Ὡς ἐκ τῆς Πλαστικῆς καὶ Ἀρχιτεκτονικῆς, οὕτω καὶ ἐκ τῆς ζωγραφικῆς πολλὴ ἡ μεταφορικὴ λέξις παρὰ τῷ φιλοσόφῳ ἐστίν. Διότι πλὴν τοῦ ὅτι καὶ ταύτης πάμπολλα καὶ πάγκαλα μνημεῖα περιέβαλλον καὶ ἐπέσπων τὴν αἴσθησιν τοῦ φιλοσόφου, ἐνθυμητέον, ὅτι κατὰ τὸν Ὀλυμπιόδωρον (2) ἐν τῇ νεότητι αὐτοῦ ὁ Πλάτων φοιτήσας παρὰ γραφεῦσιν ὠφελήθη τὴν μῖξιν τῶν χρωμάτων: Οὕτω λ. χ. ὡς πρότερον εἴδομεν ὅτι εἶπεν «τὸν νομοθέτην πλάστην πολιτειῶν οὕτω καλεῖ αὐτὸν «ζωγράφον πολιτειῶν (3)», ὡς δὲ ἐκεῖθεν τὸ πλάττειν μετήνεγκεν, οὕτω καὶ ἐντεῦθεν τὸ ἐπιχρωτίζειν, σκιαγραφεῖν, ὑπογράφειν· φέρ' εἰπεῖν «ὁ ζωγράφος σκυτοτόμον ποιήσει δοκοῦντα εἶναι τοῖς μὴ ἐπαΐουσιν, ἐκ τῶν χρωμάτων δὲ καὶ σχημάτων θεωροῦσι . . . καὶ τὸν ποιητικὸν φήσομεν χρώματ' ἄττα ἑκάστων τῶν τεχνῶν τοῖς ὀνόμασιν καὶ ῥήμασιν ἐπιχρωτίζειν (4) — ὁμοίως «τὰ ἔργα τῶν ποιητῶν γυμνωθέντα τῶν τῆς μουσικῆς χρωμάτων (5) — ἡ ἡδονὴ τῶν ἄλλων πλὴν τῆς τοῦ φρονίμου οὐκ ἔστι καθαρὰ ἀλλ' ἐσκιαγραφημένη τις (6) — καὶ «ἡ ἄνευ φρονήσεως ἀρετὴ σκιαγραφία τίς ἐστι καὶ τῷ ὄντι ἀνδραποδώδης» (7) προσέτι «αἱ ἡδοναὶ αἱ λύπαις μεμιγμέναι εἴδωλα τῆς ἀληθοῦς

(1) 793 B-D. (2) Διον. Λαερ. (3) Νομ. 803 B. (4) Πολ. 601.
(5) 601 B. (6) 583 B. (7) Φαιδρ. 69 B.

ἡδονῆς εἰσι καὶ ἐσκιαγραφημέναι ὑπὸ τῆς παρ' ἀλλήλας θέσεως ἀποχραινόμεναι ὥστε σφοδροὺς ἑκατέρας φαίνεσθαι καὶ ἔρωτας ἑαυτῶν λυττῶντας τοῖς ἄφροσιν ἐντίκτειν (1) — ὁμοίως «τὰ μαθήματα (τὰ ἐν τῇ παιδικῇ ἡλικίᾳ) οἷον ἐγκαύματα ἀνεκπλύτου γραφῆς ἔμμονά μοι γέγονε (2) — παραπλήσιον καὶ «ἃ ἂν ὁ νεαρὸς παῖς ἐν δόξαις λάβῃ, δυσέκνιπτά τε καὶ ἀμετάστατα φιλεῖ γίγνεσθαι (3). — Συχνότερον δὲ μετήνεγκεν ὁ συγγραφεὺς τὸ ῥ. ὑπογράφειν· π. χ. νόμους πολιτείας ὑπογράφειν (4) «αὐτὸν δεῖ τὸν τύραννον πορεύεσθαι πρῶτον (ἐάν τε πρὸς ἀρετῆς ὑποδείγματα προτρέπηται τοὺς πολίτας . . .) αὐτὸν πρῶτον πάντα ὑπογράφοντα τῷ πράττειν (5) — ὁμοίως «τούτων οὐχ **ὑπογραφὴν** δεῖ ὥσπερ νῦν θεάσασθαι, ἀλλὰ τὴν τελευταίαν **ἀπεργασίαν** (6) — ὡσαύτως καὶ κατωτέρω «λόγῳ σχῆμα πολιτείας ὑπογράψαντα μὴ ἀκριβῆ ἀπεργάσασθαι διὰ τὸ ἐξαρκεῖν μὲν ἰδεῖν καὶ ἐκ τῆς ὑπογραφῆς τὸν δικαιότατον καὶ ἀδικώτατον (7) — καὶ αὖθις «ὑπογράψασθαι τὸ σχῆμα τῆς πολιτείας, ἔπειτα ἀπεργαζόμενοι· (ὅρα δὲ ἐν τούτοις, πῶς ἐσαφήνισε διὰ τῆς ἀντιθέσεως τὰ ὑπογράφειν - ἀπεγάζεσθαι καὶ ὑπογραφὴν-ἀπεργασίαν) (8)... κατὰ τὸ ὑπογράφειν καὶ ὑπογραφὴν χρῆται καὶ τῷ περιγράφειν καὶ περιγραφὴ» π. χ. περιγραφὴν καὶ τύπους τῶν τιμωριῶν εἰ ἱππόντας δοῦναι τὰ παραδείγματα (9) — περὶ τὰ δικαστήρια, οἷον περιγραφή τις ἔξωθεν περιγεγραμμένη, τὰ μὲν εἴρηκε, τὰ δὲ ἀπολείπει (10).

Τούτοις προσθετέον καὶ τὴν θείαν ἐκείνην εἰκόνα, ἐν ᾗ τοὺς φιλοσόφους ἐξομοιοῖ ζωγράφοις γράφουσι τὴν τελείαν πολιτείαν· «οὐκ ἂν ἄλλως εὐδαιμονήσειε πόλις τις, λέγει ὁ φιλόσοφος, εἰ μὴ διαγράψειαν αὐτὴν οἱ τῷ θείῳ παραδείγματι χρώμενοι ζωγράφοι· ὁ δὲ τρόπος τῆς διαγραφῆς ὅδε· λαβόντες ὥσπερ πίνακα πόλιν τε καὶ ἤθη ἀνθρώπων, οὖσαν καθαρὰν ἢ μὴ οὖσαν ποιήσειαν ἂν αὐτὴν (τοιαύτην) ἢ αὐτοὶ οὐκ ἂν ἐθελήσειαν οὔτε πόλεως ἅψασθαι οὔτε ἰδιώτου, οὐδὲ νόμους γράφειν· Μετὰ τοῦτο ὑπογράψονται τὸ σχῆμα τῆς πολιτείας, ἔπειτα ἀπεργαζόμενοι πυκνὰ ἑκατέρωσε ἀπο-

(1) Πολ. 586. (2) Τιμ. 26 C. (3) 378 E. (4) Νομ. 734. (5) 711. (6) 504 D. (7) 548 D. (8) Πρβλ. καὶ Ἰσοκρ. Φιλ. 85 ὑπογράψω τὸν λόγον τοῖς ἐξεργάζεσθαι καὶ διαπονεῖν δυναμένοις.
(9) Νομ. 876 E. (10) Νομ. 768 C.

βλέποιεν ἂν πρὸς τὸ φύσει δίκαιον καὶ σῶφρον . . . καὶ πρὸς ἐκεῖνο αὖ τὸ ἐν τοῖς ἀνθρώποις, οὕτω δὲ ἐμποιοῖεν ἂν συμμιγνύντες τε καὶ κεραννύντες ἐκ τῶν ἐπιτηδευμάτων τὸ ἀνδρείκελον (ὥσπερ ὁ Ὅμηρος ἐκάλεσε τὸ ἐν τοῖς ἀνθρώποις ἐγγιγνόμενον θεῖον θεοείκελον), καὶ τὸ μὲν ἂν ἐξαλείφοιεν, τὸ δὲ πάλιν ἐγγράφοιεν, ἕως ὅτι μάλιστα τὰ ἀνθρώπεια ἤθη, ὅσον ἔνεστι, θεοειδῆ καὶ θεοφιλῆ ποιήσειαν (δηλ. ἕως ἂν τὸ ἀνθρώπινον ἢ ἀνδρείκελον τῷ θείῳ ἢ θεοεικέλῳ καὶ θεοειδεῖ πλησιάσῃ καὶ συνταυτισθῇ). Διὸ καὶ ὁ φιλόσοφος πολιτειῶν ζωγράφος ὠνομάσθη (1).

Ἐκ τῆς ζωγραφικῆς ὡσαύτως ἔχει καὶ τὴν διδακτικωτάτην τήνδε εἰκόνα· Ἐπειδὴ δηλαδή τινες ἐνίσταντο, ὅτι ἡ τοῦ δικαίου εἰκὼν καὶ τῆς τελείας πολιτείας λόγῳ μόνον δυνατά εἰσιν, οὐχὶ δὲ καὶ ἔργῳ ἐφαρμοστά, ὁ φιλόσοφος ἀποκρίνεται· ἡ ἀξία τῆς θείας αὐτοῦ πολιτείας, τῆς ἐγκαλουμένης ὑπό τινων, ἥπερ συνετάχθη ὡς παράδειγμα καὶ ὑπογραμμὸς τῆς τελείας πολιτείας, οὐδαμῶς μειοῦται, ἐὰν μὴ τῷ ὄντι ἐφαρμόζηται ἐν τοῖς ἀνθρώποις, ὥσπερ οὐδόλως ἐλαττοῦται καὶ ἡ τοῦ ἀγαθοῦ ζωγράφου, ὃς γράψας τὸν κάλλιστον ἄνθρωπον ὡς παράδειγμα καὶ πάντα εἰς τὸ γράμμα ἱκανῶς ἀποδούς, ἀδυνατεῖ ἀποδεῖξαι, ὅτι δύναται καὶ γενέσθαι τῷ ὄντι ὁ τοιοῦτος ἀνήρ (2).

Καὶ τὴν ἀνδρείαν ἄριστα ἑρμηνεύει ὁ φιλόσοφος ἐκ τῆς βαφικῆς τὴν εἰκόνα λαβών· «ἡ ἀνδρεία κατ' αὐτόν ἐστι σωτηρία τῆς δόξης τῆς ὑπὸ τοῦ νόμου διὰ τῆς παιδείας γεγονυίας περὶ τῶν δεινῶν ἅτέ ἐστι καὶ οἷα· Καὶ ὃς ἂν διασώζῃ τὴν δόξαν ταύτην ἐν λύπαις ὢν ἢ ἐν ἡδονῇ ἢ ἐπιθυμίᾳ καὶ φόβοις καὶ μὴ ἐκβάλλῃ αὐτὴν οὗτός ἐστιν ὁ ἀνδρεῖος. Καὶ ἐπὶ τὸ ἐναργέστερον λαμβάνει τὴν εἰκόνα ἐκ τῶν βαφέων. Οὗτοι δηλαδὴ ὅταν βουληθῶσι βάψαι ἔρια, ὥστε εἶναι ἁλουργά, πρῶτον μὲν ἐκλέγονται μόνον τὰ λευκά, εἶτα θεραπεύουσιν οὐκ ὀλίγῃ παρασκευῇ, ὅπως δέξωνται ὅτι μάλιστα τὸ ἄνθος. Καὶ τὸ μὲν βαφὲν δευσοποιὸν γίνεται· καὶ ἡ πλύσις μετὰ ῥυμμάτων ἢ ἄνευ τούτων γινομένη, οὐ δύναται τὸ ἄνθος αὐτῶν ἀφαιρεῖν. Ἐὰν δέ τις ἄλλα χρώματα βάπτῃ ἢ καὶ ταῦτα μὴ προθεραπεύσας, ἔκπλυτα γίγνεται καὶ γελοῖα· Οὕτως οὖν καὶ ἡ ἀγωγὴ διὰ τῆς γυμναστικῆς καὶ μουσικῆς προθεραπεία τίς ἐστιν, ἵνα οἱ νέοι τοὺς νόμους δέξωνται ὥσπερ βαφὴν καὶ ἡ δόξα αὐτῶν περὶ τῶν δεινῶν δευσοποιὸς γίγνηται

(1) 501. (2) 472.

καὶ ἀνέκπλυτος. Κατ᾽αὐτὸν τὸν τρόπον ἡ ἡδονή, ἡ λύπη, ὁ φόβος καὶ ἡ ἐπιθυμία, ὥσπερ ῥύμματα δεινότερα ὄντα τῆς κονίας καὶ τοῦ χαλαστραίου, ἀδύνατα καθίστανται εἰς τὸ ἐκπλύνειν ἢ ἐκκλύζειν, τὴν ἣν περὶ τῶν δεινῶν δόξαν διὰ τῆς παιδείας ἔσχον οἱ νέοι(1)». Ταύτην φαίνονται μιμηθέντες Βασίλειος ὁ Μ. πρὸς τοὺς νέους, ὅπως ἂν ἐξ Ἑλληνικῶν ὠφελοῖντο λόγων καὶ ὁ Κικέρων (2).

Ἀλλὰ καὶ ἡ δημοκρατία, ἐν ᾗ παντοδαποὶ ἄνθρωποι ἐγγίγνονται καὶ ἕκαστος τὸν ἑαυτοῦ βίον κατ᾽ ἀρέσκειαν κατασκευάζεται . . . ἀπεικάζεται ὑπὸ τοῦ φιλοσόφου πρὸς ἱμάτιον ποικίλον πᾶσιν ἄνθεσι πεποικιλμένον ἢ διηνθισμένον. Καὶ ὡς ἐκεῖνο κάλλιστον ὑπὸ τῶν ἁπλοϊκῶν νομίζεται, οὕτω καὶ ἡ πολιτεία, ἡ πᾶσιν ἤθεσι πεποικιλμένη καλλίστη δοκεῖ τοῖς ἀνοήτοις· καὶ ταύτην, ὥσπερ οἱ παῖδες καὶ αἱ γυναῖκες τὰ ποικίλα θεώμενοι, καλλίστην κρίνουσιν οἱ πολλοί. Ἐν αὐτῇ ὃς ἂν ἀρέσκῃ ἑκάστῳ τρόπος, τοῦτον ἐκλέγεται καὶ ὥσπερ εἰς παντοπώλιον πολιτειῶν ἀφικόμενος, ἐνταῦθα κατοικίζεται (3).

Ἐκ τῆς Ὑφαντικῆς.

Ταῖς ἐκ τῆς ζωγραφικῆς μεταφοραῖς προσθετέον μοι καί τινας ἐκ τῆς ὑφαντικῆς ἢ μᾶλλον ταλασίας, ἥπερ τὸ σπουδαιότερον μέλημα πάσης Ἀτθίδος ἦτο· διότι παρὰ τῷ φιλοσόφῳ ἀναγινώσκομεν «τὸν λόγον δεῖ συνυφανθῆναι(4),—ἡ ψυχὴ ἀνυφαίνει τὸ σῶμα(5),—εἰ ἄρα καὶ σοὶ φαίνεται διεστηκὸς αὐτῆς τὸ ἠτρίον (6)—καὶ οἰκοδομήματα ὑφαίνειν (7)·—τὰς γυναῖκας δεῖ ἀργοὺς μὲν ταλασίας εἶναι, ἀσκητικὸν δὲ βίον οὐδαμῶς φαῦλον οὐδὲ εὐτελῆ **διαπλέκειν** (8), ἔνθα τῇ μεταφορᾷ προσφυῶς ἐχρήσατο, ἐπειδὴ ὁ λόγος περὶ ταλασίας ἦτο. — Ὡσαύτως «ὁ Ἔρως θηρευτὴς ὢν δεινὸς μηχανὰς πλέκειν (9) — ἀεὶ σὺ τοιούτους λόγους πλέκεις (10) — σωμάτων ἐμπλακέντων ἐν βιαίοις πόνοις (11) — τὸ ὄνομα ἐμπλέκοντες (12) — νόμοις ἐμπεπλεγμένον (13) — αἱ βάσεις

(1) Πολ. 429-430. (2) Nonium σ. 386. 521. (3) Πολ.557 C. D.
(4) Τιμ. 69. (5) Φαιδ. 87 E. (6) Ἔνθα περὶ συνυφῆς τοῦ λόγου πρόκειται Φαιδρ. 268. (7) Κριτι. 116. (8) Νομ. 806. (9) Συμπ. 203 C.
(10) Ἱππ. 369 B. (11) Νομ. 814 B. (12) Φαιδρ. 244 C. (13) Νομ. 669. 823.

τῶν ἁρμονιῶν πλέκονται (1) — τὴν ἀπορίαν πλεκομένην (2) — ἀτεχνῶς συρράπτετε τὰ στόματα τῶν ἀνθρώπων (3) — ἀποδυτέον ταῖς τῶν φυλάκων γυναιξί, ἐπεί περ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται (4) — οἱ λόγοι τοῦ Σωκράτους περιαμπέχονται ὀνόματα καὶ ῥήματα ὡς ἡ δορὰ τοῦ Σατύρου (5)· — τὰ ζῷα σμικρότητι ἤμπισχεν (6) — ὁ τύραννος τὴν πικροτάτην καὶ χαλεπωτάτην δούλων δουλείαν μεταμπισχόμενος (7). Διδακτικὴ φαίνεταί μοι καὶ ἡ ἑξῆς εἰκών· — τῷ νομοθέτῃ τῷ ὑπογράφοντι τοὺς νόμους τῆς πολιτείας προνοητέον, ἵνα οἱ ἄρξοντες τῶν ἀρχθησομένων διακρίνωνται ὡς οἱ στήμονες τῆς ὑφῆς· ὥσπερ δὴ ἔν τινι συνυφῇ ἢ καὶ ἐν πλέγματι οἱῳδήποτε οὐκ ἐκ τῶν αὐτῶν ἐστιν ἡ ἐφυφὴ καὶ ὁ στήμων ἀλλὰ κατ' ἀνάγκην τὸ τῶν στημόνων γένος στερεώτερον κατασκευάζεται, ἡ δὲ ὑφὴ ἢ ἡ κρόκη μαλακωτέρα καὶ ἐπιεικεστέρα, οὕτω καὶ ἐν ταῖς πόλεσιν οἱ τὰς μεγάλας ἀρχὰς ἄρξοντες διακριτέοι κατά τινα τοιοῦτον τρόπον τῇ παιδείᾳ βασανισθέντες (8).

Μνημονευτέον πρὸς τούτοις καὶ τῆς εἰκόνος, ἐν ᾗ ὁ Κέβης τὴν ψυχὴν πρὸς ὑφάντην ἀπεικάζει· θέλων δηλαδὴ οὗτος νὰ ἀποδείξῃ ὅτι ἡ ψυχή ἐστι ἰσχυρότερον μὲν καὶ πολυχρονιώτερον τοῦ σώματος, ἀλλὰ πολλὰ σώματα κατατρίψασα καὶ αὐτὴ ἐπὶ τέλους ἀπόλλυται κατατριφθεῖσα, παραβάλλει ταύτην πρὸς τὸν ὑφάντην, ὃς πολλὰ ἱμάτια ὑφηνάμενος καὶ κατατρίψας τέλος ἀποθνήσκει, ἐν ᾧ τὸ τελευταῖον ἱμάτιον, ὅπερ ἠμπείχετο, ἄφθαρτον καὶ ἄτριπτον παραμένει. Κατὰ ταῦτα δύναται καὶ τὸ τελευταῖον σῶμα νὰ διατηρῆται καὶ μετὰ τὴν ἀπώλειαν τῆς ψυχῆς, ὥσπερ καὶ τὸ ἱμάτιον παρέμεινε, τοῦ ὑφάντου ἀπολομένου (9). — Τέλος προσθετέον καὶ τήνδε τὴν εἰκόνα· «οἱ ψευδῶς κόσμιοι καὶ σώφρονες ἀπέχονται ἡδονῶν τινων, ἵνα κρατηθῶσιν ὑπ' ἄλλων, ἤτοι ἀκολασίᾳ τινὶ σώφρονές εἰσιν· ἀλλ' ἐὰν τοῦτο ἀληθεύῃ, τοιαύτη φιλοσοφία λύουσα τὴν ψυχὴν ἔκ τινων ἡδονῶν, ἵνα δήσῃ ταύτην ἐν ἄλλαις, ὑφαίνει ἱστὸν ἐναντίον πρὸς τὸν τῆς Πηνελόπης. Διότι ἐκείνη ὑφαίνουσα ἀνέλυε τὸ ὑφασμένον, ἵνα μηδέποτε ὁ ἱστὸς τελειωθῇ, ἡ δὲ φιλοσοφία λύουσα τὴν ψυχὴν ἔκ τινων ἡδονῶν συνδεῖ αὐτὴν πρὸς ἄλλας, ἵνα μηδέποτε ἀπαλλαγῇ, (ὅπερ ἴδιον ψευδοῦς φιλοσοφίας) (10).

(1) Πολ. 400. (2) Παρμεν. 129 Ε. (3) Εὐθυδ. 303 Ε. (4) Πολ. 457. (5) Συμπ. 221. (6) Πρωτ. 320 Ε. (7) Πολ. 569 D. πρβλ. Πλουτ. Ἀγ. κεφ. 4,5. (8) Νομ. 735. (9) Φαιδ. 87-88. (10) Φαιδ. 84.

Μεταφορικὴ λέξις ἐκ τοῦ Θεάτρου.

Τὸ Θέατρον παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ἦτο ἓν τῶν στοιχείων τοῦ πολιτισμοῦ, αἱ δὲ Ἀθῆναι, ἡ πατρὶς τοῦ φιλοσόφου, ἡ ἑστία καὶ ὁ κατ' ἐξοχὴν τόπος τοῦ Θεάτρου (1). Διὰ τοῦτο, ὡς εἰκός, καὶ τὸ θέατρον μετὰ τοῦ δράματος καὶ ὁ θεός, ᾧπερ τοῦτο ἀφιερωμένον ἦτο, χρησιμεύουσιν εἰς τὴν μεταφορικὴν λέξιν τοῦ Πλάτωνος. Λ. χ. ὁ ἔνθεος ζῆλος τοῦ Σωκράτους πρὸς τὴν φιλοσοφίαν βακχεία καὶ φιλόσοφος μανία ὑπὸ τοῦ Ἀλκιβιάδου καλεῖται (2) καὶ αὐτὸς δὲ ὁ Σωκράτης λέγει «συνεβάκχευσα μετὰ σοῦ, τῆς θείας κεφαλῆς» (3)· καὶ ἀλλαχοῦ προστίθησιν «ἂν εὐτυχὴς ᾖ καὶ μὴ **πέρα ἐκβακχευθῇ**» (4). Πρὸς δέ, ἐπειδὴ ὁ τόπος θεῖός τις ἦν, νυμφόληπτος γίνεται ὁ Σωκράτης, διθυράμβους φθέγγεται καὶ ὑπὸ τῶν Νυμφῶν ἐνθουσιάζει (5). Καθ' ὅμοιον τρόπον «καὶ ὁ φιλομαθὴς νέος, ὁ νοσῶν περὶ λόγων ἀκοήν, ζητεῖ τὸν συγκορυβαντιῶντα» (6). Τῆς αὐτῆς μεταφορᾶς καὶ μετὰ πολλῆς χάριτός ἐστι καὶ ἡ φράσις «μετ' **ἀνδρεῖον** δρᾶμα παντελῶς διαπερανθέν, ὀρθῶς ἂν ἔχοι τὸ γυναικεῖον αὖ περαίνειν (ἤτοι τὰ τῆς ἀγωγῆς καὶ παιδείας τῶν γυναικῶν)» (7). Μετα περισσῆς παιδιᾶς ἐρρήθησαν καὶ «τὸ σατυρικόν σου δρᾶμα τοῦτο καὶ σειληνιακὸν κατάδηλον ἐγένετο» (8),—τοῦ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος (9).

Πολλὴν τὴν μεταφορὰν ἔχει ὁ φιλόσοφος καὶ ἐκ τοῦ **χοροῦ** τοῦ δράματος, λ. χ. «καθάπερ εἰσῆλθον, κρίνω αὐτοὺς ὥσπερ χορούς» (10),—παιδὸς ἑνὸς ἢ καὶ χοροῦ παιδαγωγηθέντος κατὰ τρόπον ἑνός, τί μέγα τῇ πόλει γίγνοιτ' ἂν (11); τυφλὸν ἡγεμόνα τοῦ χοροῦ ἐστήσατο (12), ἔτι «χορὸς κακῶν (= πλῆθος)» καὶ «ἄλλος χορὸς τῆς φιλοσόφου φύσεως (ἤτοι ἡ ἀνδρεία, εὐμάθεια, μεγαλοπρέπεια κλπ.)» (13), τὴν ὕβριν καὶ ἀναρχίαν μετὰ πολλοῦ χοροῦ κατάγουσιν (14) καὶ ἐπὶ τῶν τεττίγων, λιγυρὸν ὑπηχεῖ τῷ τῶν τεττίγων χορῷ (15)· ὁμοίως δὲ καὶ τὸ χορηγεῖν·—

(1) Λαχ. 183. (2) Συμπ. 218. (3) Φαιδρ. 234 D. (4) Πολ. 561. (5) Φαιδρ. 238 D. 241 E. (6) Φαιδρ. 228 B. (7) Πολ. 451 C. (8) Συμπ. 222 D. (9) Ἀπολογ. 35 B. πρβλ. Θεαιτ. τὸ τῶν μαιῶν δρᾶμα τοσοῦτον, ἔλαττον δὲ τοῦ ἐμοῦ δράματος. 150. 169. (10) Πολ. 580 B. (11) 641 B. (12) 554 B. (13) 490 C. (14) 560 E, πρβλ. 475 E. (15) Φαιδρ. 230 C.

τούτου τοῦ λόγου ἐρρωμένως χορηγοῦσιν (= ἡγοῦνται) (1). Ἀλλὰ καὶ τὴν λέξιν τραγικὸς μετήνεγκε λέγων « τραγικὴν σκηνὴν καὶ τυραννικὴν παράστασιν ἐπὶ τῆς ἐξωτερικῆς περιβολῆς ἢ ὑπερβολικῆς πολυτελείας », ἐνδὺς τὸ ἦθος διϊδεῖν... καὶ μὴ καθάπερ παῖς ἔξωθεν ὁρῶν ἐκπλήττεται ὑπὸ τῆς τυραννικῆς προστάσεως, ἣν πρὸς τοὺς ἔξω σχηματίζονται, ἀλλὰ μᾶλλον **γυμνὸν** ὀφθῆναι δεῖ (τὸν τύραννον) ἄνευ τῆς τραγικῆς σκηνῆς (2), τὸ ψεῦδος τραχὺ καὶ τραγικόν (3), « τραγικὴ ἡ ἀπόκρισις » (4),—ὡσαύτως « τραγικῶς λέγειν κινδυνεύω (5),—ὁμοίως « φῶμεν τὰς Μούσας τραγικῶς ὡς πρὸς παῖδας ἡμᾶς ὑψηλολογουμένας λέγειν » (6), ἡμεῖς ἐσμεν τραγῳδίας αὐτοὶ ποιηταί.. ὅτι καλλίστης καὶ ἀρίστης δηλ. τῆς πολιτείας (7)· καὶ αὖθις—ἡ μίμησις τοῦ καλλίστου καὶ ἀρίστου βίου ὄντως τραγῳδία ἡ ἀληθεστάτη (8)· ὁμοίως « ὁ Σωκράτης λέγει, « ὥσπερ ἐπὶ μηχανῆς τραγικῆς θεὸς » (9), καὶ ὥσπερ οἱ τραγῳδοποιοὶ ἐπὶ τῆς μηχανῆς καταφεύγουσιν θεοὺς αἴροντες » (10)· εὐστόχως ἐπίσης μετήνεγκε καὶ τὸ ἐπεισκωμάζειν εἰπὼν « ἐπεισκεκωμακότες οὐ προσῆκον εἰς τὴν φιλοσοφίαν (11)· ἐπιχαρίτως καὶ προσφυῶς ἀπεικάσας τὸν θόρυβον καὶ τὴν ἀναισχυντίαν τῶν ἐπιδρομέων διὰ τῆς ἐκ τῶν βακχικῶν ὁμίλων μεταφορᾶς.

Παιδεία.

Καὶ περὶ τῆς παιδείας πραγματευόμενος ὁ φιλόσοφος, περὶ ἣν μεγίστην σπουδὴν δεικνύει, χρῆται τῇ μεταφορικῇ λέξει δαψιλῶς τε καὶ ἐμμελῶς. Π. χ. λόγον ποιούμενος περὶ τῶν ποιημάτων, ἃ τὴν πνευματικὴν τροφὴν τῆς Ἑλληνικῆς νεότητος ἀπετέλουν, οὐ μόνον τὰ κακὰ τούτων ἐξορίζει ἐκ τῆς ἑαυτοῦ πολιτείας, ἀλλὰ καὶ πάντα δημιουργὸν εἰς ἔλεγχον ὑποβάλλει, ἵνα ἐκ πάντων ἡ εἰκὼν τοῦ ἀγαθοῦ ἤθους ἐγγίγνηται, ὅπως μὴ ἐν κακίᾳ τρεφόμενοι οἱ νέοι, ὥσπερ ἐν βοτάνῃ κακῇ, πολλὰ κατὰ σμικρὸν κακὰ δρεπόμενοί τε καὶ νεμόμενοι λεληθότως μέγα κακὸν συνιστῶσιν ἐν τῇ ψυχῇ. Διὸ πανταχοῦ ἰχνευτέον, λέγει ὁ θεῖος φιλόσοφος, τὴν τοῦ καλοῦ καὶ εὐ-

(1) Θεαιτ. 179 D. (2) Πολ. 577. (3) Κρατ. 268 C. (4) Μεν. 76 E. (5) Πολ. 413 B. (6) 545 E. (7) Νομ. 817 B. (8) Κλειτοφ. 407. (9) Κρατ. 425 D. (10) Πολ. 500 B.

σχήμονος φύσιν, ἵνα ὥσπερ ἐν ὑγιεινῷ τόπῳ οἰκοῦντες ἐκ παντὸς τρόπου ὠφελῶνται, πᾶν δὲ τὸ προσβάλλον εἰς τὰς αἰσθήσεις αὐτῶν προσπίπτῃ ὥσπερ αὔρα φέρουσα ἀπὸ χρηστῶν τόπων ὑγίειαν καὶ οὕτως εὐθὺς ἐκ παίδων λεληθότως ἄγῃ εἰς ὁμοιότητα καὶ φιλίαν καὶ συμφωνίαν τῷ καλῷ λόγῳ (1)». — Ἡ δὲ παιδεία κατὰ τὸν φιλόσοφον οὐκ ἐντίθησιν, ὥς τινες ἔλεγον, τὴν ἐπιστήμην τῇ ψυχῇ οὐκ ἐνοῦσαν, οἷον τυφλοῖς ὄψιν· Διότι ἡ ψυχὴ οὐκ ἔστιν ὥσπερ τυφλὸς ὀφθαλμὸς δεομένη φωτὸς ἔξωθεν, ἀλλ' ὥσπερ ὀφθαλμὸς ὁρῶν μέν, οὐκ ὀρθῶς δὲ τετραμμένος οὐδὲ βλέπων οἷ ἔδει· ὥσπέρ δὲ τὸν στραβίζοντα ὀφθαλμὸν περιάγουσιν ἐκ τοῦ σκοτώδους πρὸς τὸ φανόν, οὕτω καὶ τὴν ψυχὴν περιακτέον ἐκ τοῦ γενομένου ἤτοι τοῦ αἰσθητοῦ εἰς τοῦ ὄντος τὸ φανότατον, ἕως ἂν γένηται δυνατὴ ἀνασχέσθαι θεωμένη. Διότι αἱ μὲν ἄλλαι ἀρεταὶ τῆς ψυχῆς παραπλήσιαί εἰσι ταῖς τοῦ σώματος, ἤτοι ἐμποιοῦνται ἔθεσί τε καὶ ἀσκήσεσιν, ἡ δὲ τοῦ φρονῆσαι θειοτέρα τις οὖσα, τὴν μὲν δύναμιν οὐδέποτε ἀπόλλυσιν, ὑπὸ δὲ τῆς περιαγωγῆς χρήσιμος ἢ ἄχρηστος καὶ ὠφέλιμος ἢ βλαβερὰ γίγνεται. Τῶν πονηρῶν φερ' εἰπεῖν τὸ ψυχάριον δριμὺ βλέπει καὶ ὀξέως διορᾷ τὰ ἐφ' ἃ τέτραπται. Ἐὰν δ' ὅμως ἡ ψυχὴ τούτων παιδιόθεν περικοπῇ τὰς συμφύτους αὐτῇ λιχνείας καὶ ἡδονάς, αἵτινες ὡς μολυβδίδες στρέφουσι τὴν τῆς ψυχῆς ὄψιν πρὸς τὰ κάτω, τότε περιστρέφεται εἰς τὰ ἀληθῆ καὶ ταῦτα ὀξύτατα ὁρᾷ, ὥσπερ καὶ τὰ ἐφ' ἃ ἐτέτραπτο πρίν (2). Ἀλλαχοῦ οἱ ἀπαίδευτοί εἰσιν ἐν σκότει καὶ παρεβλήθησαν πρὸς δεσμώτας οἰκοῦντας ἐν σπηλαιώδει καὶ καταγείῳ οἰκήσει καὶ μὴ δυναμένους περιάγειν τὴν κεφαλὴν (3). Διὰ δὲ τῆς παιδείας λύονται τὰ δεσμά, ἵνα περιάγωσιν ἐλευθέρως τὸν αὐχένα καὶ ἐκ τοῦ σκότους ἀναχθῶσιν εἰς τὸ φῶς, ὥσπερ ἐξ Ἅδου ἐπὶ τῆς γῆς· Ἀλλ' ἡ περιαγωγὴ αὕτη οὐδαμῶς ἐστιν ὡς ἡ τοῦ ὀστράκου περιστροφὴ ἤτοι ἡ ὀστρακίνδα παιδιά, ἀλλ' ἐπάνοδος τῆς ψυχῆς ἐκ νυκτερινῆς τινος καταστάσεως εἰς ἀληθινὴν ἡμέραν, μεταβαινούσης δηλαδὴ ἐκ τῆς σκοτώδους εἰς τὴν φωτεινήν· Τὴν ἐπάνοδον δὲ ταύτην καλεῖ φιλοσοφίαν· τὸ δὲ εἰς τοῦτο μάθημα ὁλκὸν ψυχῆς (= ἑλκυστικὸν) καὶ ἐπαγωγὸν ἀπὸ τοῦ γεγονότος εἰς τὸ ὂν (4), καὶ προϊὼν καλεῖ αὐτὸ « ὁλκὸν ψυχῆς

(1) Πολ. 401. (2) 518-19. (3) 514. (4) 521 C.

πρὸς ἀλήθειαν καὶ ἀπεργαστικὸν φιλοσόφου διανοίας (1), ἔτι «ἑλκτικὸν μάθημα πρὸς οὐσίαν (2),—ἀγωγὰ καὶ μεταστρεπτικὰ μαθήματα ἐπί τὴν τοῦ ὄντος θέαν (3)—ὁ φιλόσοφος ἐξανέδυ γενέσεως διὰ τὸ τῆς οὐσίας ἁπτέον εἶναι (4)—ὡσαύτως «ἡ παιδεία ὁλκή τε καὶ ἀγωγὴ τῶν παίδων πρὸς τὸν ὑπὸ τοῦ νόμου ὀρθὸν λόγον (5),—ἡ παιδεία δύναμις θεραπευτικὴ ψυχῆς (6).—Κατὰ τὸν Πλάτωνα οἱ φιλόσοφοι μελετῶσι τοὺς ἀριθμοὺς καὶ τὴν λογιστικὴν οὐχὶ ὠνῆς καὶ πράσεως χάριν, ὡς ἔμποροι καὶ κάπηλοι, ἀλλ' ἕνεκα τῆς ψυχῆς ῥᾳστώνης (ἤτοι πρὸς τὸ εὐκολῦναι αὐτὴν) καὶ μεταστροφῆς ἀπὸ γενέσεως ἐπ' ἀλήθειάν τε καὶ οὐσίαν (7). Ἐν τοῖς μαθήμασι τῶν ἀριθμῶν ὄργανόν τι τῆς ψυχῆς ἑκάστου ἐκκαθαίρεται καὶ ἀναζωπυρεῖται ἀπολλύμενόν τε καὶ τυφλούμενον ὑπὸ τῶν ἄλλων μαθημάτων κρεῖττον ὂν σωθῆναι μυρίων ὀμμάτων (8). Ἀλλὰ καὶ τῶν μαθηματικῶν κατὰ τὸν φιλόσοφον κρείττων ἐστὶν ἡ διαλεκτικὴ πορεία ἢ μέθοδος, δι' ἧς ἄνευ τῶν αἰσθήσεων ἀλλὰ διὰ τοῦ λογου ἀνέρχεται ἡ ψυχὴ ἐπ' αὐτὰ τὰ ὄντα καὶ τὸ ἀγαθόν, ὥσπερ ὁ ὀφθαλμὸς τοῦ δεσμώτου ἐκ τοῦ σκοτεινοῦ καὶ ὑπογείου σπηλαίου ἀνέβη εἰς τὸ τοῦ ἡλίου φῶς (9). Διὰ ταύτης ἀνέρχεται ἡ ψυχὴ οἷ ἀφικομένη ὥσπερ ἀνάπαυλαν ὁδοῦ καὶ τέλος τῆς πορείας ἔχει (10). Καὶ αἱ μὲν ἄλλαι τέχναι ὀνειρώττουσι περὶ τὸ ὂν καὶ ὕπαρ ἀδύνατον αὐταῖς ἰδεῖν (11), ἡ δὲ διαλεκτικὴ μέθοδος μόνη τὸ τῆς ψυχῆς ὄμμα ὥσπερ ἐν βορβόρῳ βαρβαρικῷ τινι κατορωρυγμένον ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω συνερίθοις χρωμένη καὶ συμπεριαγωγοῖς ταῖς ἄλλαις τέχναις (12).—Ὅστις δὲ δόξῃ καὶ οὐκ ἐπιστήμῃ ἐφάπτεται τοῦ ἀγαθοῦ, οὗτος μόνον εἰδώλου τινὸς ἐφάπτεται καὶ τὸν νῦν βίον ὀνειροπολεῖ καὶ ὑπνώττει καὶ πρὶν ἐνθάδε ἐξεγρέσθαι, εἰς Ἅδου πρότερον ἀφίκετο τελέως ἐπικαταδαρθάνων (13). Διὰ τοῦτο ἡ διαλεκτικὴ ὥσπερ θριγκὸς τοῖς μαθήμασιν ἐπάνω κεῖται καὶ οὐκέτι ἄλλο μάθημα ἀνωτέρω ὀρθῶς ἂν ἐπιτιθεῖτο (14).

(1) 524 E. 527 B. (2) 523. (3) 525 B. (4) 525 B. (5) Νομ. 659 D. (6) Ὅρ. 416. (7) Πολ. 525 C. (8) 527 E. πρβλ. καὶ 529 A-C. (9) 532. (10) 532 E. (11) 533 C. (12) 533 D. (13) 534 C. (14) 534 E.

Τέλος ἡ φιλοσοφία κατὰ τὸν συγγραφέα, ἑπόμενον τῇ μεταφορᾷ, ἀδοξεῖ, ὅτι νόθοι ἅπτονται αὐτῆς καὶ οὐ γνήσιοι· πρῶτον μὲν τῇ φιλοπονίᾳ οὐ χωλὸν εἶναι δεῖ τὸν ἀψόμενον αὐτῆς· χωλὸς δ' ἐστίν, ὅταν τις φιλογυμναστῇ μὲν καὶ φιλοθηρῇ καὶ ὅλως διὰ τοῦ σώματος φιλοπονῇ, μὴ φιλομαθῇ δέ· χωλὸς προσέτι ἐστὶν καὶ ὁ τοὐναντίον τούτου μεταβεβληκὼς τὴν φιλοπονίαν. Δεύτερον δὲ πρὸς τὴν ἀλήθειαν ἀνάπηρός ἐστιν ἡ ψυχή, ἢ ἂν τὸ μὲν ἑκούσιον ψεῦδος μισῇ, τὸ δ' ἀκούσιον προσδέχηται ἀμαθαίνουσα καὶ εὐχερῶς ὥσπερ **θηρίον ὕειον** ἐν ἀμαθείᾳ μολυνόμενον· (ἡ γὰρ ἄνοια κατὰ τὸν φιλόσοφον οὐκ ἀνθρώπινόν τι πάθος, ἀλλ' ὑηνῶν τινων μᾶλλον θρεμμάτων) (1). Δεῖ δὲ ἀρτιμελεῖς τε καὶ ἀρτίφρονας παιδεύειν τοὺς πολίτας (2) καὶ ἡ τῶν τοιούτων πολιτῶν πόλις καλεῖται παιδαγωγηθεῖσα (3).—Προσέτι τῇ μεταφορᾷ τῇ ἐκ τῆς παιδείας ἐμφυόμενος, λέγει» τὴν ἰατρικὴν τῶν νοσημάτων παιδαγωγικήν (4), «ἡ ψυχὴ παιδαγωγεῖ πάντα ὀρθὰ καὶ εὐδαίμονα (5)—διαίταις παιδαγωγεῖν (6)· παιδὸς ἢ χοροῦ παιδαγωγηθέντος(7)—συμποσίου ὀρθῶς παιδαγωγηθέντος (8), ὁμοίως «πρὸς διοίκησιν καὶ παιδείαν τῶν ἀνθρωπίνων πραγμάτων (9). — Ἔτι δὲ τὴν κακὴν παιδείαν καλεῖ νόθην, τρυφῶσαν, διατρυφῶσαν, διεφθαρμένην, ἀνεπίπληκτον τροφὴν καὶ ἀνεπιπληξίαν (10).—τὴν ἀπαιδευσίαν ἀγροικίαν λ. χ. ὑπ' ἀγροικίας ἀπαίδευτόν τι ῥῆμα εἰπεῖν (11). Διὸ συχνή ἐστιν ἡ φράσις παρ' αὐτῷ καὶ ἐμμελῶς ἔχει. «Εἴ τι καὶ ἀγροικότερον εἰρῆσθαι»(12). Συνδυάζει δὲ τὰ «ἄγροικος καὶ ἀπαίδευτος» (13), ἀπειρόκαλος καὶ ἀπαίδευτος τῶν νόμων (14), ἄγριος καὶ ἀπαίδευτος τύραννος (15), ἀπαίδευτος καὶ ἀληθείας ἄπειρος (16).

(1) Νομ. 819 E. (2) Νομ. 752 C. (3) Πολ. 534-536. (4) Πολ. 406. (5) Νομ. 897 B. (6) Θεαιτ. 167 C. (7) Νομ. 641 B. Ἀλκιβ. A. 135 D. (8) Νομ. 752 C. (9) Πολ. 606 E. (10) Νομ. 741. 695. (11) Φαιδρ. 269 E. (12) Γοργ. 486 καὶ πολλαχοῦ ἀλλαχοῦ. (13) Θεαιτ. 174 D, (14) Νομ. 775 B. (15) Γοργ. 510. (16) Πολ. 519 B.

Δόξα - δοξάζειν.

Ἀλλὰ καὶ ἐν τῷ ὁρίζειν τὴν δόξαν καὶ τὸ δοξάζειν προσφεύγει εἰς τὴν μεταφορικὴν λέξιν καὶ τὴν χρῆσιν αὐτῆς ποιεῖται μετὰ τοσαύτης δεξιότητος, ὥστε οὐ μόνον τὰ ἀσαφῆ σαφηνίζονται, ἀλλὰ καὶ ἡ σκοτεινοτέρα διάνοια διαφωτίζεται. «Ἡ δόξα καὶ τὸ δοξά» ζειν, λέγει ὁ φιλόσοφος, οὔτε γνῶσίς ἐστιν οὔτε ἄγνοια οὐδὲ » ἐκτὸς τούτων, ὑπερβαίνουσα ἢ γνῶσιν σαφηνείᾳ ἢ ἄγνοιαν » ἀσαφείᾳ (οὐδέτερον τούτων), ἀλλὰ τοὐναντίον γνώσεως μὲν φαί» νεται δόξα σκοτωδέστερον, ἀγνοίας δὲ φανότερον. Ἐντὸς » οὖν ἀμφοῖν κεῖται : ἤτοι τὸ φαίνεσθαί τι ὡς ὂν καὶ μὴ ὂν ἢ τὸ με» ταξὺ τοῦ εἰλικρινῶς ὄντος κεῖσθαι καὶ τοῦ πάντως μὴ ὄντος» (1) καὶ συνεχίζων διδάσκει «τὸ ὀνειρώττειν ἐστίν, ὅταν τις ἐν ὕπνῳ ἢ ἐγρηγορὼς νομίζῃ τὸ ὅμοιόν τῳ μὴ ὡς ὅμοιον, ἀλλ' αὐτὸ εἶναι, ᾧ ἔοικεν» καὶ τοῦτο ὀνομάζει δόξαν (2)· καὶ ἀλλαχοῦ «οὐκ ᾔσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας ὡς πᾶσαι αἰσχραί, ὧν αἱ βέλτισται **τυφλαί**· ἢ δοκοῦσι σοί τι διαφέρειν τυφλῶν ὁδὸν ὀρθῶς πορευομένων οἱ ἄνευ νοῦ ἀληθές τι δοξάζοντες· βούλει οὖν αἰσχρὰ θεάσασθαι τυφλά τε καὶ σκότια ἐξὸν παρ' ἄλλων ἀκούειν φανά τε καὶ καλά;» (3) καὶ σαφέστερον ὧδε «οὐκ ᾔσθησαι, ὅτι ἔστι τι μεταξὺ σοφίας καὶ ἀμαθίας δηλαδὴ τὸ τὰ ὀρθὰ δοξάζειν; καὶ ἄνευ τοῦ ἔχειν λόγον δοῦναι οὐκ οἶσθα ὅτι οὔτε ἐπίστασθαί ἐστιν (ἄλογον γὰρ πρᾶγμα πῶς ἂν εἴη ἐπιστήμη;) οὔτε ἀμαθία· τὸ γὰρ τοῦ ὄντος τυγχάνειν πῶς ἂν εἴη ἀμαθίᾳ; Ἔστι δὴ δήπου τοιοῦτον ἡ ὀρθὴ δόξα μεταξὺ φρονήσεως καὶ ἀμαθίας» (4). Ὡσαύτως αἱ ἄλλαι τέχναι, αἷς χρωμένη συνερίθοις καὶ συμπεριαγωγοῖς ἡ διαλεκτικὴ μέθοδος τὸ τῆς ψυχῆς ὄμμα ἐν βορβόρῳ τινὶ βαρβαρικῷ κατορωρυγμένον ἠρέμα ἕλκει καὶ ἀνάγει ἄνω ἐπὶ τὴν θεὰν τοῦ ὄντος, κατ' ἔθος μὲν ὀνομάζονται, λέγει ὁ φιλόσοφος, ἐπιστῆμαι, δέονται δ' ὅμως ἄλλου ὀνόματος, ἐναργεστέρου μὲν ἢ δόξης, ἀμυδροτέρου δὲ ἢ ἐπιστήμης, διάνοιαν δέ που αὐτὴν ὡρισάμεθα . . .» καὶ διαβαθμίζων αὐτὰς τὴν μὲν α΄ μοῖραν ἐπιστήμην καλεῖ, τὴν δὲ β΄ διάνοιαν, τὴν γ΄ πίστιν καὶ τὴν δ΄ εἰκα-

(1) Πολ. 478 C - D. (2) 476 C. (3) 506. (4) Συμποσ. 202.

σίαν· καὶ συναμφότερα μὲν ταῦτα δόξαν, συναμφότερα δὲ ἐκεῖνα νόησιν· καὶ δόξαν μὲν περὶ γένεσιν, νόησιν δὲ περὶ οὐσίαν· καὶ ὁ μὲν φιλόσοφος θηρεύει τὴν οὐσίαν καὶ τὰ ἀναλλοιώτως ἔχοντα, ὁ δὲ φιλόδοξος τὰ μεταβλητὰ καὶ τὰ ἀστάτως ἔχοντα. Ἡ δὲ δόξα ὡς κειμένη μεταξὺ τοῦ εἶναι καὶ μὴ εἶναι μετέχει ἀμφοτέρων· ἀλλὰ τότε τὰ βαρέα καὶ κοῦφα καὶ σμικρὰ καὶ μεγάλα δέξεται καὶ ὡς ἐναντία· ἀλλὰ τότε ἔοικε τῷ ἐν ταῖς ἑστιάσεσιν αἰνίγματι τῷ περὶ τοῦ εὐνούχου ὡς πρὸς τὴν βολὴν τῆς νυκτερίδος (ᾧ καὶ ἐφ' οὗ αὐτὸν αὐτὴν αἰνίττονται βαλεῖν· δ. δ. ἀνὴρ κοὐκ ἀνήρ, ὄρνιθα κοὐκ ὄρνιθα, ἐπὶ ξύλου κοὐκ ἐπὶ ξύλου καθημένην, λίθῳ κοὐ λίθῳ βαλὼν διώλεσεν (δ. δ εὐνοῦχος νυκτερίδα κισσήρει ἐπὶ νάρθηκος) (1). Ταῦτα γὰρ ἐπαμφοτερίζει καὶ οὔτε εἶναι οὔτε μὴ εἶναι οὐδὲν αὐτῶν δυνατὸν παγίως νοῆσαι οὔτε ἀμφότερον οὔτε οὐδέτερον... καὶ ἐφεξῆς» μεταξὺ οὐσίας καὶ τοῦ μὴ εἶναι καλλίω θέσιν οὐκ ἔχομεν (πρὸς τὸ κατατάξαι τὴν δόξαν)· οὔτε γάρ που σκοτωδέστερα μὴ ὄντος πρὸς τὸ μᾶλλον μὴ εἶναι φανήσεται, οὔτε φανότερα ὄντος πρὸς τὸ μᾶλλον εἶναι... καὶ «τὰ τῶν πολλῶν νόμιμα κυλινδεῖται μεταξύ που τοῦ τε μὴ ὄντος καὶ τοῦ ὄντος εἰλικρινῶς . . . τὸ μεταξὺ δὲ πλανητόν ἐστι τὸ δοξαστόν (2).

Μεμονωμέναι τινὲς μεταφοραί.

Τέλος ἐνταῦθα παραθετέον μοι καί τινας ἄλλας μεταφορὰς κατὰ μόνας, ἀδυνάτου μοι γενομένου, ἵνα ὑπό τινα τῶν προειρημένων κατηγοριῶν καὶ ταύτας συντάξω. Καὶ πρῶτον μὲν ἐκ τοῦ ζυγοῦ μετενεγκὼν εἶπεν ὁ φιλόσοφος «αἱ πολιτεῖαι γίνονται ἐκ τῶν ἐν ταῖς πόλεσιν ἠθῶν ἃ ἂν ὥσπερ ῥέψαντα τἆλλα ἐφελκύσηται (3)· καθ' ὁμοίαν μεταφορὰν «ἡ ἀρετὴ καὶ ὁ πλοῦτος διίστανται, ὡσπερεὶ ἑκάτερον κείμενον ἐν πλάστιγγι ζυγοῦ ἀεὶ τοὐναντίον ἔρρεπεν» (4) καὶ «ὥσπερ σῶμα νοσῶδες μικρᾶς ῥοπῆς ἔξωθεν δεῖται προσλαβέσθαι πρὸς τὸ κάμνειν, ἐνίοτε δὲ καὶ ἄνευ τῶν ἔξω στασιάζει αὐτὸ ἑαυτῷ, οὕτω καὶ ἡ κατὰ ταὐτὰ ἐκείνῳ διακειμένη πόλις (5), — ἣν εἰκόνα πάντως ἐμιμήσατο ὁ Δημοσθένης (6) — ὁμοίως «τὸ πρὸς

(1) Πολ. 479 C. (2) 479 D. (3) Πολ. 550 E. (4) 550 E καὶ B. (5) 556 E. (6) Ὀλυνθ. 6. 24.

τὴν ἀνδρείαν ῥέπον ἀρρενωπὸν (1). Ὡσαύτως ἐκ τοῦ ζυγοῦ μετήνεγκε καὶ τὸ ῥῆμα παρακρούεσθαι (2).— Σοφώτατα δὲ καὶ διὰ μεταφορικῆς λέξεως διδάσκει, πῶς ἡ ἀρχὴ φθείρει τοὺς ἀνθρώπους». Ἐάν τις μείζονα διδῷ τοῖς ἐλάττοσι παριεὶς τὸ μέτριον, πλοίοις τε ἱστία καὶ σώμασι τροφὴν καὶ ψυχαῖς ἀρχάς, ἀνατρέπεταί που πάντα καὶ ἐξυβρίζοντα τὰ μὲν εἰς νόσους θεῖ, τὰ δὲ εἰς ἔκγονα ὕβρεως ἀδικίαν. Διὸ καὶ θνητῆς ψυχῆς φύσις οὐ δυνήσεται τὴν μεγίστην ἐν ἀνθρώποις ἀρχὴν φέρειν νέα καὶ ἀνυπεύθυνος, ὥστε μὴ τῆς μεγίστης νόσου, ἀνοίας πληρωθεῖσα μῖσος ἔχειν πρὸς τῶν ἐγγύτατα φίλων (3), —τὴν ἀνδρείαν οἱ θεοὶ οὐ χωλὴν νενομοθετήκασιν πρὸς τὰ ἀριστερὰ μόνον δυναμένην ἀντιβαίνειν (δ. δ. πρὸς φόβους καὶ λύπας), ἀλλὰ καὶ πρὸς τὰ κομψὰ καὶ θωπευτικὰ (δ. δ. τὰς ἡδονάς (4). —Λίαν κομψὴν εὑρίσκω καὶ τὴν ἐκ τῶν ἐνεχύρων μεταφορὰν» κείσθω, λέγει ὁ φιλόσοφος, ταῦτα (ὡς ὄντα τῶν δεόντων μαθημάτων), καθάπερ ἐνέχυρα λύσιμα ἐκ τῆς ἄλλης πολιτείας, ἐὰν ἢ τοὺς θέντας ἡμᾶς ἢ τοὺς θεμένους ὑμᾶς μηδαμῶς φιλοφρονῆται (5)·— ὁμοίως καὶ τήνδε «τὸ πάλαι ἀνδρόγυνον ὁ Ζεὺς ἔτεμνε δίχα, ὥσπερ οἱ τὰ ᾠὰ ταῖς θριξὶ . . . τὸ δὲ δέρμα τὸ ἐπὶ τὴν γαστέρα πανταχόθεν συνεῖλκεν ὁ Ἀπόλλων, ὥσπερ τὰ σύσπαστα βαλάντια, ἓν στόμα ποιῶν ἀπέδει κατὰ μέσον τὴν γαστέρα . . καὶ τὰς μὲν ῥυτίδας ἐξελέαινε καὶ τὰ στήθη διήρθρου ἔχων τὸ τοιοῦτον ὄργανον, οἷον οἱ σκυτοτόμοι περὶ τὸν καλόποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας (6). — Κατὰ τὸν φιλόσοφον «πάντα λόγον ῥητορικὸν δεῖ συνεστάναι σῶμά τι ἔχοντα αὐτὸν αὐτοῦ, ὥστε μήτε ἀκέφαλον εἶναι μήτε ἄπουν, ἀλλὰ μέσα τε ἔχειν καὶ ἄκρα πρέποντα ἀλλήλοις καὶ τῷ ὅλῳ γεγραμμένα» (7). Καὶ τὸν περιωρισμένον βίον τῶν γυναικῶν διὰ μεταφορᾶς παρέστησεν εἰπὼν «εἰθισμένον (τὸ θῆλυ γένος) δεδυκὸς καὶ σκοτεινὸν ζῆν ἀγόμενον εἰς φῶς βίᾳ πᾶσαν ἀντίτασιν ἀντιτεῖνον πολὺ κρατήσει τοῦ νομοθέτου» (8)·—ὁμοίως «ὁ ἐν τῇ κυδιανείρᾳ ἀγορᾷ καὶ ὁ ἐν τῷ δημοσίῳ βίος τῶν ἀνδρῶν ἀριπρεπὴς ὢν ἀντιτίθεται πρὸς τὸν τοῦ καταδεδυκότος καὶ βιοῦντος ἐν γωνίᾳ μετὰ τριῶν ἢ τεττάρων μει-

(1) Νομ. 802 Ε. (2) Θεαιτ. 168. (3) Νομ. 691 C. (4) 634. (5) 820 Ε. (6) Συμπ. 191. (7) Φαιδρ. 264 C. (8) Νομ. 781.

ρακίων ψιθυρίζοντος» (1)·—μεταφορικῶς λέγονται καὶ τάδε «οὐκ ἀμβλύνεται ὁ φιλομαθὴς οὐδ' ἀπολήγει τοῦ ἔρωτος» (2), ἐσκότωνται οἱ ἐν τῇ πόλει βέλτιστοι περὶ τὸ τοιοῦτον (= ἀγνοοῦσιν (3)· νέοι τινὲς πρὸς τὰς μαθήσεις δυσκινήτως ἔχουσι καὶ δυσμαθῶς, ὥσπερ ἀπονεναρκωμένοι ὕπνου καὶ χάσμης ἐμπίπλανται (4). Συχνὸν δὲ ἀπαντᾷ καὶ τὸ ἰλιγγιᾶν μετὰ τοῦ χασμᾶσθαι· «ἰλιγγιῴης ἂν καὶ χασμῷο οὐκ ἔχων ὅ,τι εἴποις» (5), —ἐσκοτώθην καὶ ἰλίγγιασα εἰπόντος αὐτοῦ ταῦτα (6)· ἰλιγγιᾶν ὑπὸ τῆς τοῦ λόγου ἀπορίας (7).—ὁ λόγος σκοτοδινίαν καὶ ἴλιγγον ἐμποιεῖ (8), ἡ ψυχὴ ἰλιγγιᾷ ὥσπερ μεθύουσα (9), ὁμοίως «νυστάζειν τε καὶ ἀπορεῖν» (10).

Εὐστόχως μετεννηνεγμένα εἰσὶ καὶ τὰ ἑπόμενα «ἡ ῥητορικὴ θερίζει καρπὸν ὧν ἔσπειρεν» (11)· τὰ ὑπὸ τῶν πολλῶν ἀτιμαζόμενα καὶ κολουόμενα (12)· συχνότερον δὲ εἰς τὴν σημασίαν ταύτην τὸ προπηλακίζειν» λόγῳ προπηλακίζομαι ὑφ' ὑμῶν (13)· ἡ φιλοσοφία προπεπηλακισμένη (14)·—χαριέστατά δὲ εἰσι καὶ παγκάλως ἔχουσιν καὶ τάδε» οὐ κίβδηλος, ἀλλ' ἁπλοῦς καὶ ἀληθὴς ἀεί· (15)—ἡμεῖς μὲν ἐν δυσμαῖς βίου, οἱ δὲ νέοι εἰσὶν (16)·—οἱ ἐκ τοῦ κατακλυσμοῦ περισωθέντες ἐν ταῖς κορυφαῖς τῶν ὀρέων νομῆς σμικρὰ ζώπυρα τοῦ ἀνθρωπίνου γένους λέγονται (17), κούφων καὶ πτηνῶν λόγων βαρυτάτη ζημία (18),—αὐτοπώλης περὶ τὰ μαθήματα (19), ἡ τίτθη περιορᾷ σε καρυζῶντα καὶ οὐκ ἀπομύττει δεόμενον (20), — οἱ ἐν ὥρᾳ τὸν ἐρωτικὸν δάκνουσιν καὶ κινοῦσιν (21) (πρβλ. καὶ τὸ κνίζειν) — περιθέουσι Διονυσίοις ἐπακοῦσαι πάντων τῶν χορῶν ὥσπερ οἱ ἀπομεμισθωκότες τὰ ὦτα (22)· ὡσαύτως οὐχὶ ἀκόμψως ἔχουσι καὶ τὰ «οἱ ἄρχοντες τῆς πόλεως ὡς φύλακες ἀγέλης (23), ἑπόμενοι καθάπερ ὄρνιθες ἀγέλην μίαν ποιήσουσι πατρονομούμενοι (24), αὐτὸν νομέα καὶ τροφὸν ἀγέλης ἀνθρωπίνης θω-

(1) Γοργ. 485 Ε. (2) Πολ. 490 Β. (3) 506. (4) 503. (5) Γοργ. 486 Β καὶ 527. (6) Πρωτ 339. (7) Λυσ. 216. (8) Νομ. 892 Ε. (9) Φαιδρ. 79. (10) Ἰων. 532 καὶ 533. (11) Φαιδρ. 260 D. (12) Πολ. 528 C. (13) Ἱππ. 304 C. (14) Πολ. 536 C καὶ 329 Β. (15) Νομ. 738 Ε. (16) 770. (17) 677 Β. (18) 717 C. (19) Σοφ. 231 D. (20) Πολ. 343. (21) Πολ. 474 D. (22) Πολ. 475 Ε. (23) Πολ. 451. (24) Νομ. 680 Ε.

μεν (1), ἀγέλη ἀνδρῶν (2), τὸν θεῖον νομέα καὶ τὸν ἀνθρώπινον ἐπιμελητὴν (3), τοῖς περὶ τὰ ἀνθρώπινα νομεῦσιν, οὓς πολιτικοὺς ἐκαλέσαμεν (4), ποιμένα τῆς ἀνθρωπίνης ἀγέλης (5), τῆς δίποδος ἀγέλης (6), τῶν ἀγελαίων ἀνθρώπων καὶ τῶν ἀρχόντων (7), ὥσπερ οἱ τὰ πεινῶντα θρέμματα θαλλὸν ἤ τινα καρπὸν προσείοντες ἄγουσιν, οὕτω καὶ ὁ νεαρὸς Φαῖδρος εὑρὼν φάρμακον, λόγους τινάς, περιάγει τὸν Σωκράτην, ὅποι βούλεται (8). Ἐν τρόπῳ βοσκήματος πιαίνεται (9), — βοσκημάτων δίκην (10). — Τούτοις προσθετέον καὶ τάς δε τὰς μεταφορικὰς ἐκφράσεις: ἡ ἄδεια ἀναισχυντίαν ἐνέτεκεν (11), — ἤθη ταῖς ψυχαῖς ἐντίκτουσιν (12) — ἔχθρας ὄγκον (13) — ἡ πενία καὶ ὁ πλοῦτος τίκτουσιν τὴν στάσιν (14) — εἰς ἔκγονον ὕβρεως ἀδικίαν (15) — ἔκγονοι τοῦ λόγου καὶ ἀδελφοὶ (16) — τῆς ζωγραφίας ἔκγονα (17) — τεχνῶν . . . (18) — Τῆς Ἀρτέμιδος μισησάσης τὸν ἀνδρὸς ἄροτον ἐν γυναικὶ (19) — ἀπεχομένους θηλείας ἀρούρας πάσης (20) — ἀφορία παίδων γίγνεται (21), — κεκτημένοι ταμιεῖα (χρυσοῦ καὶ ἀργύρου) καὶ περιβόλους οἰκήσεων ἀτεχνῶς νεοττιὰς ἰδίας (22) — ἐννεοττεύοντες τῇ πόλει (23), ἐπιθυμίας ἐννενεοττευμένας (24) — χρὴ τὸν γαμοῦντα νομίζειν τὴν οἰκίαν, οἷον νεοττῶν ἐγγέννησιν καὶ τροφὸν χωρισθέντα ἀπὸ πατρὸς καὶ μητρὸς ἐκεῖ τὸν γάμον ποιεῖσθαι (25) — εἰς ἀποικίαν ἀφικομένους αὐτοὺς οἰκεῖν γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλους ἐξ ἄλλων (26). Καὶ τοῦ διδασκάλου τὴν τέχνην θαυμασίως μιμηθεὶς ἐν τῇ διαλέξει καὶ συζητήσει μετήνεγκε καὶ ἐξ αὐτῆς λίαν ἐπιχαρίτως π. χ. φῶμεν τοῦτο σὸν μὲν εἶναι οἷον νεογενὲς παιδίον ἐμὸν δὲ μαίευμα (27). — Θεαίτητον,

(1) Πολιτ. 268 Β. (2) Νομ. 694 Ε. (3) Πολιτ. 276 D. (4) 267 Ε. (5) 274 Ε. (6) 276 C. (7) 268. (8) Φαιδρ. 230 Ε. (9) Νομ. 807. (10) Πολ. 586. (11) Νομ. 701. (12) Νομ. 705. (13) 843 Β. (14) 744. (15) 691 C. τὴν λαμπρὰν καὶ ἀξιομίμητον μοταφορικὴν εἰκόνα ἐμιμήθη ὁ Λογγ. π. ὕψους (κεφ. 44). (16) Φαιδρ. 278. (17) 275. (18) Πολιτ. 288. (19) Κρατ. 406 Β. (20) Νομ. 839. (21) 740 D. (22) Πολ. 548. (23) Νομ. 849 C. (24) Πολ. 573 Ε. (25) Νομ. 776. (26) 776 Α-Β. (πρβλ. Πολ. 328. καὶ Κικέρωνα d. offic. 1, 17, 54. ὡς πρὸς τὴν ἀποικίαν). (27) Θεαιτ. 160 Ε.

ὧν κυεῖ περὶ ἐπιστήμης πειρατέον ἡμῖν τῇ μαιευτικῇ τέχνῃ ἀπολῦσαι (1), — οἳ ἂν μὴ δόξωσιν ἐγκύμονες εἶναι (2). Μετὰ δὲ τὸν τόκον τοῦ λόγου καὶ ἀμφιδρόμια αὐτοῦ ὡς ἀληθῶς ἐν κύκλῳ περιθρεκτέον τῷ λόγῳ (3),—ὠδίνουσι καὶ ἀπορίας ἐμπίπλανται . . . ταύτην δὲ τὴν ὠδῖνα ἐγείρειν τε καὶ ἀποπαύειν ἡ ἐμὴ τέχνη δύναται (4),—ὑποπτεύω σε ὠδίνειν τι κυοῦντα ἔνδον (5),—ὠδίνεις, ὦ φίλε, διὰ τὸ μὴ κενὸς ἀλλ' ἐγκύμων εἶναι (6),—τῇ ἐμῇ τέχνῃ τῆς μαιεύσεως τὰ μὲν ἄλλα ὑπάρχει, ὅσα ταῖς μαίαις, διαφέρει δὲ τῷ τε ἄνδρας ἀλλὰ μὴ γυναῖκας μαιεύεσθαι καὶ τῷ τὰς ψυχὰς αὐτῶν τικτούσας ἐπισκοπεῖν, ἀλλὰ μὴ τὰ σώματα (7), — μαιεύεσθαι δέ με ὁ θεὸς ἀναγκάζει, γεννᾶν δὲ ἀπεκώλυσεν (8),— τῆς μέντοι μαιείας ὁ θεὸς αἴτιος (9), — πολλοὶ ἀγνοήσαντες (τὴν ἐμὴν τέχνην) . . . καὶ ἀπελθόντες τά τε λοιπὰ ἐξήμβλωσαν διὰ πονηρὰν συνουσίαν καὶ τὰ ὑπ' ἐμοῦ μαιευθέντα κακῶς τρέφοντες ἀπώλεσαν (10), — ἐὰν ὑπεξαιρῶμαι καὶ ἀποβάλλω (τὸν τόκον ἢ τὸ γεννηθὲν νόημα), μὴ ἀγρίαινε, ὥσπερ αἱ πρωτοτόκοι περὶ τὰ παιδία(11). Ἐπὶ πᾶσι προσθετέον καὶ τάδε· «ὅσα δι' ἡδονῆς μεθύσκοντα παράφρονας ποιεῖ» (12), «ὁ δειλὸς ἐν τοῖς δεινοῖς ὢν **ὑπὸ μέθης τοῦ φόβου ναυτιᾷ**» (13) καὶ τὸ «πύλας ἐπὶ τοῖς ὠσὶν ἐπίθεσθε» (14). Μόνον τῶν τριῶν τελευταίων τολμηρίαν τινὰ ἐν τῇ μεταφορᾷ δύναταί τις νὰ καταγνῷ.

Εἰκών

Ὅταν ἡ μεταφορὰ τυγχάνῃ θρασεῖα οὖσα, ῥᾳδίως ἰώμεθα τὴν τολμηρίαν αὐτῆς, ἐὰν προσθῶμεν τὰ «ὥσπερ, ὡσπερεί, οἷον, οἱονεί, εἰ χρὴ τὸν τρόπον τοῦτον εἰπεῖν κλπ. Διότι ταῦτα χρησιμεύουσιν ὡς μειλίγματα τῆς παρακεκινδυνευμένης μεταφορᾶς (15). Ἀλλὰ κατὰ τὸν Δημήτριον(16) ἡ προσθήκη τοῦ ὥσπερ ποιεῖ τὴν μεταφορὰν εἰκασίαν, καὶ διὰ ταύτης μὲν ὁ λόγος γίνεται ἀσφαλέστερος, δι' ἐκείνης δὲ ἐπικινδυνότερος. Ἀποφαίνεται δὲ ὁ αὐτὸς ἑρμηνευτὴς ὅτι «ὁ

(1) 184 B. (2) 151 B. (3) 160 E. (4) 151. (5) 151 B. (6) 148 E. (7) 150 B. (8) 150 C. (9) 150 D. (10) 150 E. (11) 151 C. (12) Νομ. 648 D. (13) Νομ. 639 B. (14) Συμπ. 218 B. (15) Λογγ. π. ὕψ. 32. (16) π. ἑρμην. 80.

Πλάτων (1) ἐπισφαλές τι ποιεῖ μεταφοραῖς χρώμενος μᾶλλον ἢ εἰκασίαις, καὶ κατὰ τὸν αὐτὸν ἑρμηνευτὴν ἐπάν τὴν μεταφορὰν εἰκασίαν ποιῶμεν, στοχαστέον τοῦ συντόμου καὶ τοῦ μηδὲν πλέον τοῦ ὥσπερ προστιθέναι, ἄλλως ἀντὶ εἰκασίας παραβολὴν ἔχομεν ποιητικήν. Τὰς δὲ παραβολὰς ταύτας οὔτε ῥᾳδίως ἐν τῷ πεζῷ λόγῳ θετέον οὔτε ἄνευ φυλακῆς». Ἐπειδὴ δὲ κατὰ τὸν Τρύφωνα τὸν τεχνογράφον τῆς ὁμοιώσεως τρία εἶνε τὰ εἴδη, ἤτοι ἡ εἰκών, τὸ παράδειγμα καὶ ἡ παραβολή, φαίνεται ὅτι ἡ ὑπὸ τοῦ Δημητρίου καλουμένη εἰκασία ἐστὶν ἡ τοῦ Τρύφωνος Εἰκών. Ἀλλὰ περὶ τῆς εἰκόνος σοφώτερα καὶ σαφέστερα διδάσκει ὁ Ἀριστοτέλης, ᾧ καὶ μᾶλλον πιστευτέον καὶ ὡς βαθυτέρῳ παρατηρητῇ καὶ ὡς ἀσφαλεστέρῳ κριτῇ. Κατὰ τὸν Σταγειρίτην δὲ καὶ ἡ εἰκών ἐστι μεταφορὰ ἧς μικρὸν διαφέρει. Διότι ὅταν μέν τις εἴπῃ τὸν Ἀχιλλέα, ὡς δὲ λέων ἐπόρουσεν, εἰκών ἐστιν, ὅταν δέ» λέων ἐπόρουσεν, μεταφορά. Διότι ἐπειδὴ καὶ οἱ δύο ἀνδρεῖοί εἰσι, μετενεγκὼν προσηγόρευσε λέοντα τὸν Ἀχιλλέα. (2) Καὶ προϊὼν διδάσκει ὅτι» χρήσιμος καὶ ἡ εἰκὼν ἐν τῷ λόγῳ. Ὀλιγάκις δέ· ποιητικὸν γάρ. Οἰστέον δὲ ὥσπερ καὶ τὰς μεταφοράς· μεταφοραὶ γάρ εἰσιν διαφέρουσαι τῷ εἰρημένῳ». Ἀλλ' ἄν τις πρὸς ταῦτα τὰ ἐφεξῆς παρατιθέμενα ὑπὸ τοῦ αὐτοῦ κριτικοῦ παραδείγματα τῶν εἰκόνων παραβάλῃ, εὑρίσκει τὸν ὁρισμὸν οὐχὶ ἀκριβῶς συνᾴδοντα τοῖς παραδείγμασιν. Προβὰς δ' ὅμως ὀλίγον ὁ κριτικὸς λέγει» ἡ εἰκὼν διαφέρει τῆς μεταφορᾶς προσθέσει. (3) Διὸ ἧττον ἡδεῖα αὕτη εἰς τὰ ἀστεῖα ὅτι μακροτέρως· καὶ αὖθις» αἱ μεταφοραὶ ἔσονται εἰκόνες λόγου δεόμεναι.» Ὁ τελευταῖος οὗτος ὁρισμὸς συνᾴδει πρὸς τὰ ὑπ' αὐτοῦ παρατιθέμενα παραδείγματα, ἅπερ καὶ ἱκανά εἰσιν καὶ λίαν διδακτικὰ καὶ ἐναργῆ· ἰδοὺ δέ τινα δείγματος ἕνεκα»· λ. χ. ἡ εἰκών, ἣν ὁ Ἀνδροτίων εἶπεν εἰς Ἰδριέα, ὅτι ὅμοιος ἐστι τοῖς ἐκ τῶν δεσμῶν κυνιδίοις· ἐκεῖνά τε γὰρ προσπίπτοντα δάκνει καὶ ὁ Ἰδριεὺς λυθεὶς ἐκ τῶν δεσμῶν χαλεπός. β'. ἡ εἰκὼν ἡ Περικλέους τοῖς Σαμίοις, ὅτι

(1) π. ἑρμην. 80. (2) (ἰδοὺ καὶ ἡ τοῦ Δημητρίου ὅλη μομφή, ἣν δεινώσας ὁ Διονύσιος ἐπηγάγετο πρὸς ἐποικοδόμησιν τῆς ἑαυτοῦ (ἐπ. πρ. Γν. Πομπηΐου)· ἀλλὰ καὶ ἡ γνώμη τοῦ Δημητρίου πόσον αταλαίπωρος καὶ ἀβασάνιστός ἐστιν, δεικνύουσιν ὅλα τὰ παραδείγματα τῶν μεταφορῶν τὰ παρατεθέντα ἐκ τοῦ Πλάτωνος). (2) (Ῥητορ. 3, 4). (3) 3, 10.

ἐοίκασι τοῖς παιδίοις ἃ τὸν ψωμὸν δέχονται μέν, κλαίοντα δέ» καὶ γ'. ὁ Ἀντισθένης εἴκασε Κηφισόδοτον τὸν λεπτὸν λιβανωτῷ, ὅτι ἀπολλύμενος εὐφραίνει. — Ἀλλ' ὁ Ἀριστοτέλης μεταξὺ τῶν ἄλλων εἰκόνων παρενείρει καὶ τρεῖς ἐκ τῆς τοῦ Πλάτωνος πολιτείας, ἤτοι τὴν τῶν σκυλακίων, τὴν τοῦ ναυκλήρου καὶ τὴν εἰς τὰ μέτρα τῶν ποιητῶν. — Ὥστε ἐξ ὧν λέγει ὁ Σταγειρίτης καὶ ἐκ τῶν ὑπ' αὐτοῦ μνημονευομένων παρὰ Πλάτωνι εἰκόνων ἃς ἔχομεν σῶας, καταδηλοῦται ὁ ὁρισμὸς τῆς εἰκόνος, ὅτι δηλαδὴ ἡ εἰκὼν ἐστὶ μεταφορὰ ἐκτενὴς καὶ διὰ λόγου ὁλοκλήρου ἐκφερομένη. Τινὲς δὲ μάλιστα τῶν τοῦ Πλάτωνος μηκύνονται καὶ εἰς σελίδας ὁλοκλήρους. Ἡ δὲ εἰκὼν κατὰ τὸν Ἀριστοτέλη χρήσιμος καὶ κόσμημα τοῦ πεζοῦ λόγου ἀποβαίνει, καὶ ὁ Πλάτων οὗ τὰς εἰκόνας ἐπαινεῖ καὶ ὧν δείγματα παρέχει, οὐ μόνον ἄψογος καὶ κατ' αὐτάς ἐστιν, ἀλλὰ καὶ μιμήσεως ὑπόδειγμα ὡς πρὸς τὴν χρῆσιν τῶν εἰκόνων προβάλλεται ὑπὸ τοῦ Σταγειρίτου. Οὐδὲ διὰ τὴν πληθὺν (1) τῶν εἰκόνων παρέχει τι τὸ ἐπιλήψιμον ὁ φιλόσοφος, ἐπειδὴ καὶ αἱ παρ' αὐτῷ εἰκόνες ὀλιγάκις καὶ ἐν μέτρῳ καὶ λίαν ἐπικαίρως τίθενται. Εἰ δὲ τὰς μακρὰς παρὰ τῷ φιλοσόφῳ εἰκόνας ὑπαινίσσεται ὁ Ἁλικαρνασεὺς ὡς σκληρὰς καὶ οὐ σωζούσας τὴν ἀναλογίαν, ὡς οὔτε μέτρον ἐχούσας οὔτε καιρόν, οὐδὲ κατὰ τοῦτο ἀληθεύει. Ἐπειδὴ ἐγὼ συνέλεξα πάσας ὅσας ἠδυνήθην εὑρεῖν τοιαύτας καὶ παρατίθεμαι πλείστας τούτων ἐφεξῆς, ἵνα δηλωθῇ, ὅτι οὐ μόνον ἀμέμπτως ἔχουσιν, ἀλλὰ καὶ μετὰ πολλῆς εὐφυΐας εἰσὶν εὑρημέναι καὶ μετὰ χάριτος σπανίας ἐκπεφρασμέναι. Μνημονευτέον δέ μοι, ὅτι καὶ ἐν τοῖς προηγουμένοις οὐκ ὀλίγας εἰκόνας προσέθηκα παρενείρων αὐτὰς ἐν ἑκάστῳ εἴδει τῶν μεταφορῶν, αἷς αἱ εἰκόνες καθ' ὕλην ὡμοίαζον,

Καὶ ἐκ τοῦ Ὀλυμπιοδώρου (2) μανθάνομεν, ὅτι καὶ πρὸς Διονύσιον τὸν τύραννον δι' εἰκόνος ἀγαστῆς τὴν ἀπόκρισιν ἐποιήσατο· ἐκείνου δηλαδὴ ἐρωτήσαντος» εἰ τὸ ὀρθῶς δικάζειν σμικρὸν αὐτῷ δοκεῖ, σμικρὸν

(1) πρβλ. Φαιδ. 87. Β. (ἡ εἰκὼν τοῦ ὑφάντου). Συμπ. 215 (ὁ Σωκράτης ὡς σάτυρος), Νομ. 644 (ὡς μήρινθοι αἱ ἐπιθυμίαι), 906. (οἱ θεοὶ ὡς συγγνώμονες τοῖς ἀδικοῦσιν πρὸς κύνας, ἡνιόχους ἢ κυβερνήτας κακούς). Γοργ. 433 (ἡ εἰκὼν τοῦ ἀκολάστου ὡς τετρημένου πίθου) (καὶ 517), Πολ. 375 Δ (ὁ φυλακικὸς πρὸς κύνα) 515 κα 517 (ἡ τοῦ σπηλαίου). 519 (τὸ ἀγαθὸν ὡς ὁ ἥλιος). 488 (ἡ τοῦ ναυκλήρου). 588 Β. (ἡ εἰκὼν τῆς ψυχῆς ἀδικούσης) 531 Β. (ἡ εἰκὼν τῆς ἁρμονίας) Μεν. 72. (ἡ περὶ τὰ σμήνη) (πρβλ. καὶ Ξεν. Οἰκον. 17, 15. οἷόν ἐστιν τὸ εὖ τὰς εἰκόνας ἐπάγεσθαι). (2) παρὰ Διογ. Λαερτίῳ.

μὲν οὖν καὶ μέρος ἔσχατον, ἔφη· Ἀκεσταῖς γὰρ ἐοίκασιν οἱ ὀρθῶς δικάζοντες, οἵτινες τὰ διερρωγότα ἱμάτια ἀνυφαίνουσιν»

Ἡ εἰκὼν τοῦ ναυκλήρου.

Ἐπειδὴ ὁ Ἀδείμαντος διετείνετο ὅτι οἱ φιλοσοφοῦντες ἄχρηστοι ἐν ταῖς πόλεσι γίνονται ἰδιοπραγμονοῦντες ἢ καὶ ἀλλόκοτοι, ὁ Σωκράτης ἀποκρίνεται, ὅτι ἐπειδὴ ὁ λόγος δυσαπόδεικτος δοκεῖ, δεῖται ἀποκρίσεως δι᾽ εἰκόνος, εἰ καὶ ὁ φιλόσοφος οὗτος οὐκ εἴωθεν δι᾽ εἰκόνων λέγειν»· ὁ δῆμος δηλαδὴ ἔοικε ναυκλήρῳ, ὃς μεγέθει καὶ ρώμῃ ὑπερέχει πάντων τῶν ἐν τῷ νηί, ἀλλ᾽ ὑπόκωφός ἐστιν καὶ βραχὺ ὁρᾷ καὶ ὀλίγα γινώσκει περὶ τῶν ναυτικῶν· οἱ δὲ ναῦται στασιάζουσι πρὸς ἀλλήλους περὶ τῆς κυβερνήσεως καὶ οὐ μόνον τὴν τέχνην τοῦ κυβερνᾶν ἀγνοοῦσιν αὐτοὶ καὶ οὐ διδακτὴν εἶναι διισχυρίζονται, ἀλλὰ καὶ τὸν λέγοντα τἀναντία κατατέμνειν ἕτοιμοί εἰσιν. Οἱ τοιοῦτοι δὴ περικέχυνται τῷ ναυκλήρῳ δεόμενοι ἵνα αὐτοῖς τὸ πηδάλιον ἐπιτρέψῃ, ἂν δ᾽ ἄλλος τις προτιμᾶται, ἐκβάλλουσι τῆς νεὼς ἢ καὶ ἀποκτείνουσιν· τὸν δὲ γενναῖον ναύκληρον συμποδίσαντες ἄρχουσι τῆς νεὼς αὐτοὶ καὶ πίνοντες καὶ εὐωχούμενοι πλέουσιν καλοῦντες ναυτικὸν καὶ κυβερνητικὸν πάντα, ὃς ἂν συλλαμβάνῃ αὐτοῖς εἰς τὸ ἔργον, τὸν δὲ μὴ τοιοῦτον ψέγοντες ὡς ἄχρηστον· τὸν δὲ ἀληθῆ κυβερνήτην, τὸν σὺν τῇ κυβερνητικῇ κεκτημένον καὶ γνώσεις μετεωρολογικὰς οἱ αὐτοχειροτόνητοι ἐκεῖνοι πλωτῆρες μετεωροσκόπον καὶ μετεωρολέσχην καὶ ἀδολέσχην ἀποκαλοῦσι χλευάζοντες. Κατὰ τὸν αὐτὸν τρόπον καὶ οἱ ἐπιεικέστατοι τῶν ἐν τῇ φιλοσοφίᾳ ἄχρηστοι φαίνονται, ὅτι κατὰ τὸ εἰκὸς οὐ δέονται τῶν ἀρχομένων, ἵνα ἄρχωσιν, ὡς οὐδὲ ὁ κυβερνητικὸς τῶν ναυτῶν. Διότι τὸ ἀληθὲς πέφυκεν, ἵνα ὁ κάμνων, εἴτε πλούσιος εἴτε πένης ὢν τυγχάνει, εἰς τὰς τοῦ ἰατροῦ θύρας ὑπάγῃ καὶ ὁ δεόμενος ἄρχεσθαι ἐπὶ τὰς τοῦ ἄρχειν ἐπισταμένου (1).

β′ Εἰκὼν τῶν φιλοσόφων.

Ἀλλὰ καὶ ἐν ἄλλῃ εἰκόνι ὁ Πλάτων ἀποδεικνύει, διατί οἱ φιλόσοφοι ἰδιοπραγμονοῦσιν. Κατ᾽ αὐτὸν δηλαδὴ τῶν φιλοσόφων

(1) Πολ. 488-490.

ἕκαστος ἐπειδὴ τὴν μανίαν τῶν ἐν ταῖς πόλεσιν ὁρᾷ, ἐξ ἧς οὐδένα σύμμαχον ἐπὶ τὴν τῶν δικαίων βοήθειαν εὑρίσκει, καὶ οὔτε δύναται εἷς κατὰ πάντων ἀγρίων ἀντέχειν οὔτε καὶ συναδικεῖν ἐθέλει, διὰ τοῦτο πράττει τὰ ἴδια ἢ τὰ ἑαυτοῦ, οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποστάς· ὁρῶν δὲ τοὺς ἄλλους καταπιμπλαμένους ἀνομίας ἀγαπᾷ, εἰ αὐτὸς καθαρὸς ἀδικίας τὸν ἐνθάδε βίον βιώσεται καὶ τὴν ἀπαλλαγὴν μετὰ καλῆς ἐλπίδος ἵλεώς τε καὶ εὐμενὴς ἀπαλλάξεται (1).

Ὁ Σωκράτης ὡς Σειληνὸς ἢ Σάτυρος.

Ἀλλὰ καὶ τοῦ διδασκάλου αὐτοῦ, τοῦ Σωκράτους, μνημεῖον θαυμαστὸν τῆς τε μορφῆς καὶ τῆς ψυχῆς ἔστησε διὰ λέξεως εἰκονικῆς. Διότι ὑποβάλλει τὸν Ἀλκιβιάδην λέγοντα περὶ αὐτοῦ δι' εἰκόνων καὶ τὴν εἰκόνα λαμβάνοντα οὐχὶ τοῦ γελοίου χάριν, ἀλλὰ τοῦ ἀληθοῦς. Κατ' αὐτὸν δὴ ὁ Σωκράτης ὁμοιότατός ἐστι τοῖς Σειληνοῖς τοῖς ἐν τοῖς Ἑρμογλυφείοις καθημένοις, οἳ σύριγγας ἔχουσιν ἢ αὐλούς, μάλιστα δὲ τῷ Σατύρῳ Μαρσύᾳ ἔοικεν. Πρῶτον μὲν διὰ τὸ ἐξωτερικὸν ἢ τὸ εἶδος, δεύτερον δέ, ὅτι ὑβριστής ἐστιν, ὡς ἐκεῖνοι, καὶ τρίτον, ὡς ὁ αὐλητὴς ἐκεῖνος Σάτυρος ἐκήλει τοὺς ἀκούοντας, οὕτω καὶ ὁ Σωκράτης κατακηλεῖ τοὺς συνόντας, πλὴν ὅτι ἐκεῖνος μὲν δι' ὀργάνου, οὗτος δὲ ψιλοῖς λόγοις μόνον τοὺς διαλεγομένους αὐτῷ ποιεῖ ἐνθουσιάζειν καὶ κατέχεσθαι. Πᾶς δὲ ἀκούων αὐτοὺς εἴτε ἀνὴρ εἴτε γυνὴ καὶ μειράκιον κάτοχοι γίνονται ὑπὸ τῆς φιλοσόφου μανίας καὶ βακχείας αὐτοῦ. Ὁ δὲ Ἀλκιβιάδης πάσχει καὶ μᾶλλόν τι τῶν κορυβαντιώντων, ἐπειδὴ καὶ ἡ καρδία αὐτοῦ πάλλει καὶ δάκρυα ἐκχεῖται, ἐκείνου λέγοντος, ὅπερ οὐδέποτε ἔπαθεν ἀκούων ἄλλων οὐδ' ὅτε καὶ αὐτοῦ τοῦ Περικλέους τοῦ πάνυ ἤκουεν. Ὑπὸ δὲ τοῦ Σωκράτους τεθορύβηται ἡ ψυχὴ αὐτοῦ καὶ ἀγανακτεῖ ὡς ἀνδραποδωδῶς διακειμένου καὶ τῷ Σωκράτει μόνῳ ἀναγκάζεται τὰς ἑαυτοῦ κακίας ἀνομολογεῖν. Διὸ ὥσπερ ἀπὸ τῶν Σειρήνων ἐπισχόμενος τὰ ὦτα φεύγει, ἵνα μὴ καθήμενος παρὰ τούτῳ καταγηράσῃ.

(1) 496 D (τὴν εἰκόνα ταύτην ἐμιμήθησαν Μαξ. Τυρ. XXI, 10. ὁ Ἀριστείδης καὶ ὁ Θεμίστιος, Γρηγόριος ὁ Ναζιανζ. λογ. Ε. σελ. 1341. Βασ. ἐπιστ. CCLXXIII. σελ. 196. C).

Καὶ ὁ πρὸς πάντας ἀναισχύντως ἔχων μόνον τὸν Σωκράτη ᾐσχύνετο καὶ αὐτῷ μόνῳ ἀντιλέγειν οὐκ εἶχεν ἐλεγχόμενος. Διὸ δραπετεύει καὶ φεύγει αὐτὸν καὶ ἡδέως μὲν ἐθέλει ἰδεῖν αὐτὸν μὴ ὄντα ἐν ἀνθρώποις, ἀλλ' εὖ οἶδεν, ὅτι, εἰ τοῦτο γένοιτο, αὐτὸς πολὺ μᾶλλον ἂν ἄχθοιτο. Καὶ ὑπὸ τῶν αὐλημάτων τοῦ Σατύρου τούτου οὐ μόνον ὁ Ἀλκιβιάδης ἔπασχε ταῦτα, ἀλλὰ καὶ ἄλλοι πολλοί. Ἐν ᾧ δὲ τὸ Σειληνῶδες αὐτοῦ εἶδος ὑπομιμνήσκει τὴν ἀκράτειαν τῶν γεγλυμμένων Σειληνῶν, ἔνδοθεν διανοιχθεὶς ὅσης μὲν σωφροσύνης γέμει, καταφρονῶν τῶν ψευδῶν τιμῶν καὶ χρήμασι μᾶλλον ἄτρωτος ὢν ἢ ὁ Αἴας σιδήρῳ, οἷα δὲ ἀγάλματα ἀληθινὰ ἐντὸς ἐνέχει θεῖά τε καὶ χρυσᾶ, πάγκαλα καὶ θαυμαστά· οἱ λόγοι δὲ αὐτοῦ λαβόμενοι ψυχῆς νέων μὴ ἀφυῶν νύττουσιν ἀγριώτερον τῶν δηγμάτων τῆς ἐχίδνης καὶ ὑποδουλοῦνται αὐτούς. Πρὸς τοὺς Σειληνοὺς καὶ Σατύρους ἀπεικάζεται ἐπιτυχῶς ὑπὸ τοῦ Ἀλκιβιάδου καὶ κατὰ τοῦτο. Ὡς δηλαδὴ τὸ ἐξωτερικὸν ἐκείνων ἦτο δυσειδές, οὕτω καὶ οἱ τοῦ Σωκράτους λόγοι τὸ μὲν πρῶτον φαίνονται γελοῖοι περιαμπεχόμενοι ὀνόματα καὶ ῥήματα πρὸς δοράν τινα σατύρου ὑβριστοῦ ὁμοιάζοντα, ἐπειδὴ περὶ χαλκέων καὶ σκυτέων καὶ βυρσοδεψῶν τινων ἔλεγεν, ὧν ἄπειρός τις ἢ ἀνόητος δύναται καταγελάσαι, διανοιγομένους μέντοι αὐτοὺς ἰδών τις καὶ ἐντὸς γινόμενος πρῶτον μὲν αὐτοὺς μόνους τῶν λόγων εὑρήσει νοῦν ἔχοντας ἔπειτα θειοτάτους καὶ πλεῖστα ἀγάλματα ἀρετῆς ἐν ἑαυτοῖς ἔχοντας καὶ ἐπὶ πλεῖστον τείνοντας, μᾶλλον δὲ ἐπὶ ὅσον προσήκει σκοπεῖν τῷ μέλλοντι καλῷ κἀγαθῷ ἔσεσθαι (1).

Αἱ εἰκόνες τοῦ κυνός.

Οἱ τοὺς νεκροὺς σκυλεύοντες, λέγει ὁ φιλόσοφος, ὁμοιάζουσι πρὸς κύνας, αἳ τοῖς λίθοις, οἷς ἂν βληθῶσιν, χαλεπαίνουσιν, τοῦ βαλόντος οὐχ ἁπτόμεναι (2). Ταύτης τῆς εἰκόνος μνημονεύων ὁ Ἀριστοτέλης ἐπαινεῖ καὶ ὡς ἐπιτυχῆ συνιστᾷ (3). Ἀλλ' ὁ Πλάτων καὶ ἄλλων οὐκ ὀλίγων εἰκόνων ἐκ τοῦ κυνὸς χρῆσιν ποιεῖται· ὡς ἔοικεν, τὸ εὐγενὲς καὶ εὐφυὲς τοῦτο ζῷον λίαν ἀρέσκει τῷ φιλοσόφῳ πολλὰς ἰδιότητας ἀξιομιμήτους ἔχον· οὕτω λ. χ. ὁ Σωκράτης προτίθεται

(1) Συμπ. 215-222. (2) Πολ. 469. (3) Ρητορ. 3, 4.

τὴν εἰκόνα τούτου ἀλλαχοῦ, ἵνα καταδείξῃ, οἷον δεῖ εἶναι τὸν νέον τὸν φυλακικὸν καὶ ἀμύντορα τῆς πατρίδος· ὁ εὐγενὴς νεανίσκος κατὰ τὸν φιλόσοφον, ὁ φυλακικὸς ἐσόμενος, πρέπει, ἵνα ὁμοιάζῃ πρὸς τὸν γενναῖον σκύλακα κατὰ τὴν φύσιν, δηλαδὴ ἑκάτερος δέον ἵν' ᾖ ὀξὺς πρὸς αἴσθησιν καὶ ἐλαφρὸς πρὸς τὸ αἰσθανόμενον διώκειν καὶ ἰσχυρὸς αὖ, ἐὰν δέῃ, ἑλὼν διαμάχεσθαι· πρὸς δὲ καὶ ἀνδρεῖος, εἰ μαχεῖται· τὴν δὲ ἀνδρείαν παρέχει ὁ θυμὸς ἄμαχος καὶ ἀνίκητος ὤν, καὶ οὗ παρόντος, πᾶσα ψυχὴ πρὸς πάντα ἄφοβος καὶ ἀήττητος γίνεται. Ἀλλ' οἱ φύλακες διὰ τοῦ θυμοειδοῦς μόνου μέλλουσι κατασπαράξειν ἀλλήλους, ἐνῷ πρὸς τοὺς ἐναντίους ὀφείλουσιν, ἵνα χαλεποὶ ὦσι καὶ ἄγριοι, πρὸς δὲ τοὺς οἰκείους πρᾶοι. Ἀλλὰ πῶς δύνανται ἵνα συνδυασθῶσιν τὸ θυμοειδὲς ἤτοι μεγαλόθυμον ἦθος καὶ τὸ πρᾶον, ἐναντία ὄντα; Μόνον ἐάν τις ἀπολειφθῇ τῆς προκειμένης εἰκόνος τοῦ κυνός, ἀπορήσει δικαίως. Ἀλλὰ μνημονεύων ταύτης, εὑρίσκει ὅτι ἐν τῇ φύσει τοῦ ζῴου τούτου συνδυάζονται. Διότι ἡ φύσις τούτου ἐστὶ θυμοειδὴς ἅμα καὶ πραεῖα, ὄντος τοῦ ζῴου πρὸς μὲν τοὺς συνήθεις καὶ γνωρίμους ὡς οἷόν τε πραοτάτου, πρὸς δὲ τοὺς ἀγνῶτας ἀγριωτάτου. Καὶ ἐπειδὴ ὁ κύων πρὸς μὲν τὸν ἀγνῶτα χαλεπαίνει καίπερ οὐδὲν κακὸν προπεπονθώς, τὸν δὲ γνώριμον ἀσπάζεται κἂν μηδὲν ἀγαθὸν προπεπόνθῃ, τὸ πάθος τοῦτο τοῦ ζῴου κομψὸν δοκεῖ καὶ ἀληθῶς φιλόσοφον. Διότι τὸν ἐχθρὸν καὶ φίλον ἢ τὸν ἀλλότριον καὶ οἰκεῖον τῇ συνέσει καὶ ἀγνοίᾳ διακρίνει. Ὥστε καὶ τὸν νεανίσκον τὸν φυλακικὸν ἐσόμενον παιδευτέον φιλόσοφον ἢ φιλομαθῆ, εἰ μέλλει πρὸς τοὺς οἰκείους καὶ γνωρίμους πρᾶος ἔσεσθαι, ὥσπερ πρὸς τοὺς πολεμίους χαλεπός· οὕτω δὴ ἐν τῇ παιδείᾳ (1) τῶν νέων ἀναπτυκτέον τὸ θυμοειδὲς ἅμα καὶ φιλομαθὲς ἢ φιλόσοφον.

Ἀλλαχοῦ πάλιν διδάσκει ὁ φιλόσοφος, ὅτι οἱ πολεμικοὶ ἀθληταὶ δέονται κομψοτέρας ἀσκήσεως ἢ οἱ κοινοὶ ἀθληταί. Διότι ἐκείνους μὲν παιδευτέον ἵνα ὦσιν ὥσπερ κύνες ἄγρυπνοι, ἵνα δηλαδὴ ὀξὺ ὁρῶσι καὶ ἀκούωσι καὶ πολλὰς μεταβολὰς μεταβάλλοντες ἐν ταῖς στρατείαις μὴ ἀκροσφαλεῖς ὦσι πρὸς ὑγίειαν. Οἱ δὲ κοινοὶ ἀθληταὶ ἢ ἀσκηταί, ὧν ἡ ἕξις ὑπνώδης καὶ σφαλερὰ πρὸς ὑγίειαν, καθεύδουσιν ὡς τὰ πολλά, καὶ ἐὰν σμικρὰ ἐκβῶσι τῆς τεταγμένης διαίτης, μεγάλα καὶ σφόδρα νοσοῦσι (2)· καὶ ὑποβὰς ὀλίγον, προστίθησιν, « οἱ μὲν φύλα-

(1) Πολ. 375-377. (2) 404.

κες καὶ ἐπίκουροι στρατοπεδεύοντες ἔξω τῆς πόλεως φυλάττουσιν ὥσπερ κύνες ἄγρυπνοι αὐτήν, καθάπερ ποίμνην κατὰ τῶν πολεμίων ἐπιπτόντων ὡς λύκων» (1)· καὶ αὖθις «ἐὰν δὲ οἱ ἐπίκουροι κατα-» σχεθῶσιν ὑπὸ φιλοχρηματίας ἢ ἄλλης πλεονεξίας, ἐπιπεσοῦνται κατὰ » τῶν πολιτῶν, οὓς φυλάττουσιν καὶ ἀντὶ συμμάχων εὐμενῶν ἀγρίοις » δεσπόταις ἀφομοιωθήσονται, ὥσπερ ὅταν οἱ κύνες οἱ ἐπίκουροι τῶν » ποιμνίων ὑπὸ λιμοῦ ἢ ἀκολασίας ἢ ἄλλου τινὸς κακοῦ ἔθους ἐπιχει-» ρήσωσι τοῖς προβάτοις καὶ ἀντὶ κυνῶν τοῖς λύκοις ἀφομοιωθῶσι» (2) καὶ προϊὼν τοὺς μὲν ἀθλητικοὺς φύλακας τοὺς εὖ ἠσκημένους καὶ ἠλιωμένους λέγει ὅτι ὁμοιάζουσι πρὸς κύνας ἰσχνοὺς καὶ στερεούς, τοὺς δὲ ἀνασκήτους, τρυφῶντας καὶ ἐσκιατραφηκότας πρὸς πρόβατα πίονα καὶ ἁπαλά (3)· πάλιν «τὸ θυμικὸν τῆς ψυχῆς ἢ τὸ θυμοειδές, ὅπερ ζέον καὶ χαλεπαῖνον διὰ τὴν ἀδικίαν οὐ λήγει, πρίν τι τῶν γενναίων διαπράξηται, ἀπεικάζει πρὸς κύνα ἐξαγριαινόνόμενον· ὡς δὲ οὗτος ἀνακαλούμενος πραΰνεται ὑπὸ τοῦ νομέως, οὕτω καὶ τὸ θυμικὸν ἀνακαλεῖται ὑπὸ τοῦ λόγου τοῦ παρ' ἑαυτῷ (4) — τοὺς ἐπικούρους ἐθέμεθα ὥσπερ κύνας, ὑπηκόους τῶν ἀρχόντων ὄντων ὥσπερ ποιμένων πόλεως (5).

Αἱ ἐπιθυμίαι ὡς μήρινθοι

Ἄριστα δι' εἰκόνος αἰσθητοποιεῖ ὁ φιλόσοφος καὶ τὴν διαμάχην τὴν γιγνομένην ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου ὑπὸ τῶν ἐπιθυμιῶν καὶ τοῦ λογισμοῦ.

Εἷς ἕκαστος ἡμῶν, λέγει ὁ φιλόσοφος, δύο κέκτηται ἐν ἑαυτῷ συμβούλους ἐναντίους τε καὶ ἄφρονας δηλ. ἡδονήν τε καὶ λύπην· ἔτι δὲ δόξας τῶν μελλόντων, ὧν τὸ μὲν κοινὸν ὄνομα ἐλπίς, ἴδιον δὲ φόβος μὲν ἡ πρὸ λύπης ἐλπίς, θάρρος δὲ ἡ πρὸ τοῦ ἐναντίου. Ἐπὶ πᾶσι τούτοις λογισμός, ὃς γενόμενος δόγμα πόλεως κοινὸν νόμος ἐπωνόμασται. Εἴτε δὲ ἕκαστον τῶν ζῴων παίγνιον τῶν θεῶν εἴτε καὶ σπουδῇ συνέστηκεν, τὸ ἀληθές ἐστιν ὅτι τὰ πάθη ταῦτα ἐν ἡμῖν οἷον νεῦρα ἢ μήρινθοί (6) τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλή-

(1) 415. (2) 416 A. (3) 422 D. (4) 440. πρβλ. καὶ 440 D.
(5) πρβλ. καὶ 466. καὶ 539 B. (6) Πρβλ. ὅταν αἱ ἐπιθυμίαι παύσωνται κατατείνουσαι καὶ χαλάσωσι. Πολ. 329. C.

λαις ἀνθέλκουσιν, ἐναντίαι οὖσαι ἐπ' ἐναντίας πράξεις, τὴν ἀρετὴν δηλονότι καὶ τὴν κακίαν. Διότι ὁ λόγος λέγει, ὅτι δεῖ τῶν ἕλξεων μιᾷ συνεπόμενον ἕκαστον ἀεὶ καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης ἀνθέλκειν τοῖς ἄλλοις νεύροις. Αὕτη δὲ ἡ μία ἕλξις, ᾗ δεῖ συνέπεσθαι, ἐστὶν ἡ τοῦ λογισμοῦ ἀγωγή, χρυσῆ καὶ ἱερὰ τῆς πόλεως κοινὸς νόμος ἐπικαλουμένη. Καὶ αἱ μὲν ἄλλαι σκληραὶ καὶ σιδηραῖ εἰσιν καὶ παντοδαποῖς εἴδεσιν ὅμοιαι, ἡ δὲ μαλακὴ ἅτε χρυσῆ οὖσα. Δεῖ δὲ τῇ καλλίστῃ ἀγωγῇ τῇ τοῦ νόμου ἀεὶ συλλαμβάνειν. Διότι ἅτε καλοῦ μὲν ὄντος τοῦ λογισμοῦ, πράου δὲ καὶ οὐ βιαίου δεῖται ὑπηρετῶν ἡ ἀγωγὴ αὐτοῦ, ὅπως ἂν ἡμῖν τὸ χρυσοῦν γένος νικᾷ τὰ ἄλλα γένη (1). Διὸ παιδεία ἐστιν ἡ παίδων ὁλκή τε καὶ ἀγωγὴ πρὸς τὸν ὑπὸ τοῦ νόμου λόγον ὀρθὸν εἰρημένον καὶ τοῖς ἐπιεικεστάτοις καὶ δι' ἐμπειρίαν πρεσβυτάτοις συνδεδογμένον, ὡς ἄρα ὀρθός ἐστιν (2).

Ἡ ἐκ τῆς ἀδικίας παραμόρφωσις τῆς ψυχῆς.

Δι' εἰκόνος ἐπίσης αἰσθητοποιεῖται καὶ ἡ ἐκ τῆς ἀδικίας παραμόρφωσις τῆς ψυχῆς ἣ πρὸς τὸν παραμορφωθέντα Γλαῦκον ἀπεικάζεται. Δηλαδὴ ἐάν τις ἐθέλῃ ἰδεῖν, λέγει ὁ Πλάτων, τὴν ἀληθῆ μορφὴν τῆς ψυχῆς, διαθεατέον αὐτὴν οὐχὶ λελωβημένην ἐκ τῆς τοῦ σώματος κοινωνίας καὶ τῶν ἄλλων κακῶν, ἀλλὰ καθαρὰν γιγνομένην. Διὸ λογισμῷ θεατέον καὶ τότε ἐναργέστερον διόψεται δικαιοσύνην τε καὶ ἀδικίαν. Ἐκ τῶν ἀδικιῶν δὲ θεαθεῖσα εὑρέθη διακειμένη, ὥσπερ ὁ θαλάττιος Γλαύκων, ὃν ὁρῶν τις οὐκέτι ῥᾳδίως δύναται τὴν ἀρχαίαν αὐτοῦ φύσιν ἰδεῖν. Διότι τὰ παλαιὰ μέρη τοῦ σώματος, τὰ μὲν ἐκκεκλασμένα εἰσίν, τὰ δὲ συντετριμμένα καὶ παντὶ τρόπῳ λελωβημένα ὑπὸ τῶν κυμάτων, ἄλλα δὲ προσπεφυκότα εἰσίν, ὄστρεα, φυκία καὶ πέτραι, ὥστε παντὶ μᾶλλον θηρίῳ ἔοικεν ἢ οἷος ἦν φύσει· οὕτω δὲ καὶ ἡ ψυχή, ἐν ᾧ νῦν πόντῳ καταβεβύθισται, περιεκρούσθη πέτρας τε καὶ ὄστρεα. Ταῦτα δὲ νῦν αὐτῇ, ἅτε γῆν ἑστιωμένῃ, τὰ γεηρὰ καὶ πετρώδη πολλὰ καὶ ἄγρια προσφεφυκότα ἐστὶν ὑπὸ τῶν εὐδαιμόνων λεγομένων ἑστιάσεων. Ἐκκομισθεῖσα δὲ ἐκ

(1) Νομ. 644 C-645 B. (2) αὐτόθι 660.

τοῦ πόντου τούτου διὰ τῆς φιλοσοφίας συγγενὴς τῷ θείῳ καὶ ἀθανάτῳ ἔοικεν καὶ τῷ ἀεὶ ὄντι (1).

Ἡ εἰκὼν τοῦ ποιητοῦ.

Ἀλλὰ καὶ τοῦ ποιητοῦ ἀρίστην εἰκόνα παρέχει ὁ φιλόσοφος λέγων· «τὸ ποιεῖν ἔστι τέχνη μὲν οὔ, θεία δὲ δύναμις ἡ κινοῦσα τὸν ποιητήν, ὥσπερ ἐν τῇ λίθῳ τῇ Μαγνήτιδι ἢ Ἡρακλείᾳ. Καὶ γὰρ ἡ λίθος αὕτη οὐ μόνον αὐτοὺς τοὺς δακτυλίους ἄγει τοὺς σιδηροῦς, ἀλλὰ καὶ δύναμιν ἐντίθησιν αὐτοῖς, ὥστε δύνασθαι ταὐτὸ τοῦτο ποιεῖν, ὅπερ ἡ λίθος, ἄλλους ἄγειν δακτυλίους, ὁρμαθὸν πάνυ μακρὸν σιδηρίων καὶ δακτυλίων ἀποτελοῦντας ἐξ ἀλλήλων ἠρτημένων· οὕτω δὲ καὶ οἱ ποιηταὶ καὶ αὐτοὶ γίνονται ἔνθεοι ὑπὸ τῆς Μούσης καὶ ἄλλους ποιοῦσιν ἐνθουσιάζειν, ὥστε ὁρμαθὸν ἐνθέων γίνεσθαι. Διότι οἱ θεαταὶ οἱ κατὰ κύκλους περιστοιχίζοντες τοὺς περὶ τὸν ἀοιδὸν χορευτάς εἰσιν ὥσπερ οἱ δακτύλιοι, οἱ ὑπὸ τῆς Ἡρακλειώτιδος λίθου τὴν δύναμιν ἀπ' ἀλλήλων λαμβάνοντες. Ὁ δὲ ἀοιδὸς ἢ ποιητής ἐστιν ὡς ἡ μαγνητικὴ λίθος, ὁ τῇ δυνάμει καὶ ἐμπνεύσει τοῦ θεοῦ ἕλκων τὴν ψυχὴν τῶν ἀνθρώπων, οἵπερ ἐκκρέμανται καὶ ἐξήρτηνται ἐξ ἀλλήλων ὡς δακτύλιοι καὶ σιδήρια τῆς Μούσης.

Καὶ συνεχίζων τὴν εἰκόνα περὶ τῶν ἀγαθῶν ποιητῶν λέγει, ὅτι οὗτοι ἔνθεοι γιγνόμενοι καὶ κατεχόμενοι λέγουσι τὰ καλὰ ποιήματα οὐκ ἐκ τέχνης, ἀλλ' ὥσπερ οἱ κορυβαντιῶντες, οἵπερ οὐκ ἔμφρονες ὄντες ὀρχοῦνται. Καὶ ἐπειδὰν ἐμβῶσιν εἰς τὴν ἁρμονίαν καὶ τὸν ῥυθμὸν βακχεύουσι κατεχόμενοι· ὥσπερ δὲ αἱ βάκχαι ἀρύτονται ἐκ τῶν ποταμῶν μέλι καὶ γάλα κατεχόμεναι, ἔμφρονες δ' οὖσαι οὔ, οὕτω καὶ οἱ ποιηταὶ λέγουσιν, ὅτι ἀπὸ κρηνῶν μελιρρύτων ἐκ Μουσῶν κήπων τινῶν καὶ ναπῶν δρεπόμενοι τὰ μέλη φέρουσιν ἡμῖν, ὥσπερ αἱ μέλιτται, οὕτω καὶ αὐτοὶ πετόμενοι. Κοῦφον γὰρ χρῆμα ὁ ποιητὴς καὶ πτηνὸν καὶ ἱερὸν καὶ οὐ πρότερον οἷός τέ ἐστι ποιεῖν, πρὶν ἂν ἔνθεός τε γένηται καὶ ἔκφρων καὶ ὁ νοῦς μηκέτι ἐνῇ ἐν αὐτῷ. Ἕως δ' ἂν τουτὶ ἔχῃ τὸ κτῆμα, ἀδύνατος ποιεῖν καὶ χρησμῳδεῖν. Ὁ δὲ θεὸς ἐξαιρούμενος τὸν νοῦν τῶν ποιητῶν χρῆται τούτοις ὑπηρέταις καὶ τοῖς χρησμῳδοῖς καὶ

(1) Πολ. 611 C.

τὸ «σὲ» μετὰ τὸ «Λήδα». Ἐπειδὴ δὲ καὶ τὸ ι τῆς δοτικῆς τῶν τριτοκλίτων, παρὰ τοῖς ποιηταῖς σπανίως ἐκθλίβεται, καὶ ὁ ἐνεστὼς ἵπταμαι *δὲν ἀπαντᾷ παρὰ τοῖς Ἀττικοῖς, ὁ Ἑλμσλεὺς διώρθωσε «ὄρνιθι πταμένῳ», ἢ «πετομένῳ», ὅπερ καὶ τοῦτο ἐπεκράτησε,* **παρὰ πάντα λόγον,** *διότι καὶ τὸ νόημα τοῦ λόγου ἀπαιτεῖ ἐνεστῶτα, ὄχι ἀόριστον, ἀφ' οὗ ὁ λόγος εἶνε ὄχι περὶ ὄρνιθος,* ὅπου ἐπέταξε τότε *(ὅτε δηλ. ἠλλάχθη τὸ δέμας κτλ.), ἀλλὰ ὄρνιθος ὅπου πετᾷ πάντοτε* (ἤτοι πουλὶ πετάμενο), *καὶ ἡ ἔκθλιψις τοῦ ἰῶτα τῆς δοτικῆς νόμιμος, εἰ καὶ σπανία, καὶ, ἀφ' οὗ ἔχομεν τὸν παρατατικὸν «ἀφίπτατο» κατωτέρω ἐν 1608,* **φανερὸν** *ὅτι καὶ ὁ ἁπλοῦς «ἱπτάμην» καὶ ὁ ἐνεστὼς «ἵπταμαι» ὑπῆρχε παρὰ τοῖς Ἀττικοῖς.*

(Ὁ Ναύκιος λέγει ἐν τῇ ἐκδόσει τοῦ Εὐριπίδου Τόμ. Β', σελ. ε' (1872) «ἔτεκεν Λήδα σ' Elmsleius, ἔτυχεν Λήδα libri, ὄρνιθι πταμένῳ Marklandus, ὄρνιθ' ἱπταμένῳ libri»).

Πᾶς τις βλέπει ὅτι σφοδρότατα ὁ Βερναρδάκης συνηγορεῖ τῷ ἐν τοῖς ἀντιγράφοις φερομένῳ ὄρνιθ' ἱπταμένῳ· καὶ ἰσχυρίζεται μὲν ὅτι τὸ νόημα τοῦ λόγου ἀπαιτεῖ ἐνεστῶτα, οὐχὶ ἀόριστον, ἀποφαίνεται δ' ὅτι ὑπῆρχε παρὰ τοῖς Ἀττικοῖς τὸ ῥῆμα ἵπτασθαι τεκμαιρόμενος ἐκ τοῦ ἐν ἑτέρῳ τόπῳ τοῦ Εὐριπίδου Ἰφιγ. Αὐλ. 1608 κειμένου «ἡ παῖς σαφῶς σοι πρὸς θεοὺς ἀφίπτατο». Ἀλλ' ἐν τῷ τόπῳ τούτῳ ἐξέδωκε μὲν ὁ Βερναρδάκης ἀπέπτατο ἀντὶ τοῦ ἀφίπτατο σελ. 216, συνέταξε δὲ μακρὰν σημείωσιν προθυμούμενος νὰ παραστήσῃ ὅτι μόνος ὁ ἀόριστος εὐαρμοστεῖ τῷ περὶ οὗ ὁ λόγος χωρίῳ. Ἐκ τῆς σημειώσεως ταύτης παραλαμβάνομεν τάδε· «*Ἐν τοῖς βιβλ.* «*ἀφίπτατο*», *ὅπερ μετὰ τοῦ Οὐέϊλ' ἔτρεψα εἰς* «*ἀπέπτατο*», *διότι τῶν παρὰ τοῖς ὀψιαιτέροις* ἵπταμαι ἱπτάμην, *ἄλλα μαρτύρια δὲν ἔχομεν παρὰ τοῖς Ἀττικοῖς, εἰμὴ τὸ* ἀφ-ίπτατο» *παρ' Εὐριπ. ἐνταῦθα καὶ ἐν ἀποστ. 637. Ἀλλ' ὅπως ἐκεῖ, οὕτω καὶ ἐνταῦθα ἡ ἔννοια ἀπαιτεῖ ὄχι παρατ., ἀλλ' ἀόριστον· ὅθεν τούτου κυρίως ἕνεκα μετέγραψα τὸ ῥῆμα*».

Ἐμνημόνευσε μὲν ὁ Βερναρδάκης τὸ ἵπτατο καὶ ἀφίπτατο, ἀλλ' ἐπελάθετο τοῦ ὄρνιθ' ἱπταμένῳ, οὗ ἰσχυρότατα ὑπερεμάχησε, προσφυέστατα μὲν αὐτὸ τῷ λόγῳ τοῦ ποιητοῦ εὑρίσκων, ἀναρμόστατον δὲ τὸ τοῦ Μαρκλάνδου διώρθωμα ὄρνιθι πταμένῳ, περὶ οὗ εἶπεν ὅτι παρὰ πάντα λόγον ἐπεκράτησε.

Ἀποροῦμεν τῇ ἀληθείᾳ τί νὰ εἴπωμεν περὶ τοῦ θαυμασιωτάτου τούτου ἀνθρώπου, ὅστις ἄνευ τινὸς ἐνδοιασμοῦ δύο ὅλως ἐναντίας γνώμας περὶ τοῦ αὐτοῦ πράγματος ἐν τῷ αὐτῷ βιβλίῳ ἐκφέρει, πρῶτον μέν, ὅτι ὑπῆρχε παρὰ τοῖς Ἀττικοῖς τὸ ῥῆμα ἵπτασθαι, ἔπειτα δ' ὅτι δύο μόνα μαρτύρια τοῦ ῥήματος τούτου ἐκ τῶν Ἀττικῶν ἔχομεν ἀμφότερα ἐσφαλμένα, ἤτοι ψευδῆ. Εὔκαιρον δὲ νομίζομεν εἶνε νὰ ἐπαναληφθῶσιν ἐνθάδε τὰ ῥηθέντα ἄλλοτε περὶ τοῦ Βερναρδάκη ἐν τῇ Ἀθηνᾷ 1890, σελ. 572 «***Εὐχερέστατος ὁ ἄνθρωπος οὗτος πρὸς πᾶν τι ὢν νομοθετεῖ μὲν περὶ φιλολογικῶν πραγμάτων τολμηρότατα, ἀθετεῖ δ' ἃ ἐδογμάτισε, καὶ ὀλιγίστου ἐνίοτε χρόνου διαγενομένου, εὐκολώτατα, ἥκιστα δ' αἰσχύνεται ἄντικρυς παλινῳδῶν καὶ τοῖς ἑαυτοῦ λόγοις φανερῶς περιπίπτων***»

Ἐν τῇ ὑπὸ τοῦ Παπασλιώτου διασκευασθείσῃ Γραμματικῇ τοῦ Γενναδίου φέρεται σελ. 188 (1857). «Πέτομαι· Μέλλ. πετήσομαι, ἀλλ' οἱ Ἀττικοὶ πτήσομαι, Ἀόρ. ἐπτόμην (καὶ ἐπτάμην), καὶ β'. ἔπτην, Ὑποτ. πτῶ, Εὐκτ. πταίην, πτῆναι, πτάς.— Πρκ. πεπότημαι (Ἀριστοφ.) ἐκ τοῦ ποτάομαι. Οἱ δὲ μεταγεν. ἔχουσι καὶ ἵπταμαι Ἐνεστ., προσέτι δὲ καὶ πέταμαι καὶ πετάομαι μετ' Ἀορ. ἐπετάσθην». Εἶνε δὲ ταῦτα μετωχετευμένα ἐκ τῆς τοῦ Κρυγήρου Ἑλληνικῆς Γραμματικῆς Μέρ. Α', σελ. 177, 1848' «πέτομαι fliege, fu. πετήσομαι. gew. in der Att. Prosa wohl ausschliesslich, πτήσομαι, Ao. ἐπτόμην, der in der pros. und Com. Sprache vorherrscht ἐπτάμην [*Plato öfter*, *Xen. Cyr. 2,4,19*], bei Dichtern und Spätern ἔπτην (Conj. πτῶ Opt. πταίην, Inf. πτῆναι Part. πτάς. Das Pf. πεπότημαι *Aor.* ist won ποτάομαι; ein Pr. ἵπταμαι haben Spätere; ja selbst πέταμαι und πετάομαι mit einem Ao. ἐπετάσθην *schon Aristot.*». Τῷ Κρυγήρῳ ἀκολουθῶν καὶ ὁ Βερναρδάκης ἔγραψεν ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ 1865, σελ. 150 «πέτομαι, μέσ. ἀόρ. κατὰ συγκοπὴν ἐπτόμην καὶ ἐπτάμην παρὰ τοῖς μεταγνστρ. καὶ τοῖς ποιηταῖς ἀόρ. β' ἔπτην ὑποτ. πτῶ, εὐκτ. πταίην ἀπαρ. πτῆναι, μετοχ. πτάς.— πετε-πετήσομαι καὶ πτήσομαι — ποτα-πεπότημαι. *Ὁ ἐνεστὼς ἵπταμαι κατὰ τὸ ἵσταμαι ὑπάρχει παρὰ τοῖς μεταγ. ὡς καὶ τό: πέταμαι καὶ πετάομαι, ἐπετάσθην*»

Ἐν τέλει παρατιθέμεθα τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν *Mne-*

mos. 1881, σελ. 366 «Veteres dicebant lingua populari πέτομαι, πετήσομαι et πτήσομαι, ἐπτόμην (ἀνεπτόμην, κατεπτόμην, ἐπεπτόμην cet.). Poetarum est aoristus ἔπτην, πτῆναι, πτάς (διέπτην, προσέπτην) et in forma media ἐπτάμην, πτάσθαι, πτάμενος (διαπτάσθαι, διαπτάμενος, ἀναπτάμενος). Graeculi dicebant ἵπταμαι (ut ἵσταμαι) pro πέτομαι, et πέτΑμαι ut in: πόθεν, πόθεν πέτασσαι; et in aoristo ἐπέτασα et ἐπετάσθην, ut in Anacreonteis: δραμὼν τε καὶ πετασθεὶς πρὸς τὴν καλὴν Κυθήρην» (Πρβ. καὶ *Var. Lect.* σελ. 305 καὶ *Miscel. Crit.* σελ. 146).

Φέρεται ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ῥῆμα νέω, οὗ γνωστοτάτη εἶνε ἡ ἀπαρέμφατος διὰ τὸ παροιμιῶδες καταστὰν «μήτε γράμματα μήτε νεῖν ἐπίστασθαι». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 252 «Superest ut in Eunapii loco de Maximi uxore: ἡ δὲ φιλοσοφίας ἕνεκεν Μάξιμον ΟΥΤΕ γράμματα εἰδότα ἀπέφαινεν, veram lectionem indagemus. Editores οὔτε in οὐδέ converti voluerunt, sed nihil est in iis verbis mendosi. Duo vocabula exciderunt sic supplenda: ΟΥΤΕ (ΝΕΙΝ ΟΥΤΕ) γράμματα εἰδότα ἀπέφαινεν. Noto proverbio Eunapius usus est. Suidas Μήτε νεῖν μήτε γράμματα ἐπίστασθαι: ἐπὶ τῶν παντάπασιν ἀμαθῶν. παρὰ γὰρ Ἀθηναίοις εὐθὺς ἐκ παιδὸς κολυμβᾶν καὶ γράμματα ἐδιδάσκοντο. Innotuit proverbium ex loco Platonis de *Legg.* III. 689. D. τοὺς δὲ τοὐναντίον ἔχοντας τούτων ὡς σοφούς τε προσρητέον ἂν καὶ τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπίστωνται, καὶ τὰς ἀρχὰς δοτέον ὡς ἔμφροσιν. Hinc sumsere alii: Dio Cassius 66. 13. in excerptis apud Bekkerum de Cynicis: ἄν τις τὸν πώγωνα καθῇ — πνεῖ ἐφ' ἑαυτῷ μέγα κἂν τὸ λεγόμενον δὴ τοῦτο μήτε γράμματα μήτε νεῖν ἐπίστηται. Aristides II. pag. 368. Dind ἀλλ' ὡς τὸ λεγόμενον δὴ τοῦτο οὔτε γράμματα οὔτε νεῖν εἰδότα ἐλέγχειν ἀξιῶν. Hinc certa medicina parata est Galeno Tom. VI. pag. 641. Kühn. οὐ γὰρ τοῖς ἀττικίζειν τῇ φωνῇ σπουδάζουσιν ἀλλὰ τοῖς ὑγιαίνειν ἐθέλουσι γράφεται ταῦτα, κἂν τοῦτο δὴ τὸ τοῦ Πλάτωνος μήτε γράμματα μήτε νοῦν ἐπίστωνται. Interpres: «*qui videntur neque Platonis scripta neque ipsius mentem intelligere*» at tu subridens repone μήτε ΝΕΙΝ (Πρβ. καὶ 1880, σελ. 4 καὶ 1882,

σελ. 253) καὶ 1882, σελ. 432 «In sqq. pro οὐδΕΝΕΙΔΟτας felicissime Editor repperit veram scripturam οὐδΕ ΝΕΙΝ ΕΙδότας. Praecedit: οἱ μὲν ἔτι νηχόμενοι — ἐς βυθὸν κατεδύοντο».

Ὀλίγοι δ' ἴσως ἀγνοοῦσι τὸ ὑπὸ τοῦ Λουκιανοῦ ἐν τοῖς Νεκρικοῖς Διαλόγοις (Ι', 1) ῥηθὲν «ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσητε καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίστασθε». Ἄλλα παραδείγματα τοῦ περὶ οὗ ὁ λόγος ῥήματος κρίνομεν περιττὸν νὰ μνημονεύσωμεν πλὴν ἑνὸς μόνου, ἐν ᾧ κεῖται ὁ παρατατικὸς ἔνεον, Ἀριστοφ. Ἱππ. 321 «πρὶν γὰρ εἶναι Περγασῆσιν ἔνεον ἐν ταῖς ἐμβάσιν» (Σχολ. «ἔνεον ἐν ταῖς ἐμβάσιν. Ἐκολύμβων, ἐνηχόμην ἐν τοῖς ὑποδήμασιν»).

Ἐσχηματίσθη δ' ἐκ τοῦ ῥήματος νέω ἀόριστος ἔνευσα οὐδὲν κατὰ τὸν τύπον διαφέρων τοῦ γενομένου ἐκ τοῦ νεύω, ὅπερ σῴζεται καὶ παρ' ἡμῖν λεγόμενον ἰδιωτικῶς γνέφω. Πρβ. εἰμί-**ἔσθε** καὶ οἶδα-**ἔσθε**, πείθομαι-**πείσομαι** καὶ πάσχω-**πείσομαι**, ᾔδη-**ἦσαν** καὶ ἦα-**ἦσαν** καὶ ἦσα-**ἦσαν**, κτλ. Γνωστὸν δ' ὑπάρχει ὅτι καὶ ἄλλα δισύλλαβα ῥήματα τῆς πρώτης τῶν περισπωμένων ῥημάτων συζυγίας σχηματίζονται ὁμοίως τῷ νέω-ἔνευσα, οἷον πλέω-ἔπλευσα, κτλ. Εὑρίσκεται δὲ καὶ τῇ ἐκ προθέσει συντεθειμένον τὸ νέω-ἔνευσα, οἷον ἐκνέω-ἐξένευσα.

Ὁ Βερναρδάκης ἔγραψεν ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ σελ. 105 (1866) «Τὰ ἑξῆς εἰς -έω διΣΣύλλαβα (γρ. διΣύλλαβα) ῥήματα μεταβάλλουσι τὸν χαρακτῆρα ε εἰς ευ: θέω θεύσομαι θευσοῦμαι· νέω νεύσομαι νευσοῦμαι ἔνευσα· πλέω πλεύσομαι πλευσοῦμαι ἔπλευσα πέπλευσμαι ἐπλεύσθην· πνέω πνεύσομαι πνευσοῦμαι ἔπνευσα ἐπνεύσθην· ῥέω (ῥεύσομαι ἔρρευσα)». Ἀλλὰ μετὰ τριάκοντα σχεδὸν ἔτη, γέρων ἤδη ὤν, ἐδόξαζεν ὁ μέγας τῆς Ἑλλάδος γραμματικὸς ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου ὅτι ὑπῆρχεν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ῥῆμα ἐκνεύω = ἐκνέω Τόμ. Β', σελ. 290 (1894) «Ὁ πρῶτος ὅρος τῆς ἐκ τοῦ πελάγους τούτου τῶν ἀτοπιῶν ἐκκολυμβήσεως εἶνε ν' ἀφήσωμεν τὸν Σχολ. εἰς τὸ πέλαγος, καὶ νὰ ἐννοήσωμεν ὅτι τὸ ἐκνεῦσαι ἐνταῦθα εἶνε ἀόριστος ὄχι τοῦ **ἐκνεύω = ἐκνέω (= ἐκκολυμβῶ)** ἀλλὰ τοῦ ἐκνεύω (= ἐκκλίνω γέρνω)» καὶ «Τὸ δ' **ἐκνεύω**, ἐλλεῖπον ἀπὸ τῶν λοιπῶν σκηνικῶν, ἀπαντᾷ συχνάκις παρ' Εὐριπίδῃ, ἀλλὰ δὶς μόνον ἐν τῇ σημασίᾳ: ἐκκολυμβῶ (Ἱππολ. 823 καὶ Κύκλ.

576)». Ἐννέα δ' ἔπειτα ἐνιαυτῶν παρελθόντων ἐγράφη ὑπὸ τοῦ Βερναρδάκη Τόμ. Γ', σελ. 376 (1903), «Τὸ δ' ἐξένευσας κάκιστα ἐξελήφθη ὑπό τινων ὡς ἀόριστος τοῦ ἐκνέω, ὅπως καὶ ὑπὸ πάντων ἐν Ἱππολ. 470 (ἴδε περὶ τῆς καὶ πολλαχῶς ἄλλως παρερμηνευομένης ἐκεῖ ῥήσεως εἰς Ἱππόλ. 469-70) δέον τοῦ ἐκνεύω = ἐκκλίνω».

Πάντες οἱ γράμματα μαθόντες ἐπίστανται ὅτι οὐδέποτ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ οὔτε πλεύω - ἐκπλεύω ἐρρήθη ἀντὶ τοῦ πλέω - ἐκπλέω οὔτε πνεύω - ἐκπνεύω ἀντὶ τοῦ πνέω - ἐκπνέω οὔτε νεύω - ἐκνεύω ἀντὶ τοῦ νέω - ἐκνέω. Ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου Τόμ. Γ', σελ. 505 λέγεται «Ἐκνεύω [*Ἐκνέω ut Plut. Alcib. c. 27: Τῶν ἀνδρῶν ἐκνεόντων*]». Ὅτι ἐν παλαιοτέροις χρόνοις ἐπλάσθη ἐκ τοῦ ἀορίστου ἐξένευσα ἐνεστὼς ἐκνεύω, οὐδὲν τοῦτο θαυμαστόν· ἐκεῖνο εἶνε θαυμαστότατον, ὅτι ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἄνθρωπος ἀσχολούμενος περὶ τὰ Ἑλληνικὰ γράμματα, πρεσβύτης ἤδη ὤν, ἐνόμιζεν ὅτι ἐλέγετο ὑπὸ τῶν Ἑλλήνων ἐπὶ τῆς αὐτῆς ἐννοίας οὐ μόνον ἐκνέω ἀλλὰ καὶ ἐκνεύω.

ΚΕΦ ΚϚ'.

Ἐν τῇ φράσει **θέσφατ' εἰ λύσω θεᾶς** τὸ **λύσω** εἶνε μέλλων τῆς ὁριστικῆς, οὐχὶ ἀόριστος τῆς ὑποτακτικῆς.

Παρὰ τῷ Εὐριπίδῃ Ἰφ. Α. 1268 φέρεται «οἳ τὰς ἐν Ἄργει παρθένους κτενοῦσί μου ὑμᾶς τε κἀμέ, θέσφατ' εἰ λύσω θεᾶς». Πᾶς μὴ ὅλως ἄγευστος ἑλληνικῆς παιδείας ὢν κατανοεῖ παραχρῆμα ὅτι τὸ ἐν τῇ ῥήσει ταύτῃ λύσω εἶνε μέλλων τῆς ὁριστικῆς, οὐχὶ ἀόριστος τῆς ὑποτακτικῆς. Ἀλλ' ὁ Δημ. Ν. Βερναρδάκης ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Γ', σελ. 170 (1903) ἔγραψε «τὸ δ' εἰ λύσω ἄνευ τοῦ ἂν (ἤτοι: ἀντὶ τοῦ ἤν, ἢ καί: ἐὰν), ὅπως πολλάκις παρὰ ποιηταῖς». Οὐδαμῶς τὴν παρατήρησιν ταύτην θὰ ἐποιεῖτο ὁ δαιμόνιος ἀνήρ, ἂν μὴ τὸν τύπον λύσω, μέλλοντα ὄντα τῆς ὁριστικῆς, ὑπελάμβανεν ὑποτακτικὴν τοῦ ἀορίστου ἔλυσα.

Οὐκ ὀλίγα μαρτύρια ἔκ τε τοῦ ποιητικοῦ καὶ τοῦ πολιτικοῦ λόγου

ἔχει τις νὰ καταλέξῃ τῆς συντάξεως, καθ' ἣν ἐν ἀμφοτέροις τοῖς μέρεσι τοῦ καλουμένου ὑποθετικοῦ λόγου, τῷ τε ἡγουμένῳ καὶ τῷ λήγοντι ἢ τῇ προτάσει καὶ τῇ ἀποδόσει, εἶνε τεθειμένη ἡ ὁριστικὴ τοῦ μέλλοντος.

Ἰλ. Β, 386 «οὐ γὰρ παυσωλή γε μετέσσεται οὐδ' ἠβαιόν, εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν» καὶ Ω, 206 «εἰ γάρ σ' αἱρήσει (ἀθρήσει) καὶ ἐσόψεται ὀφθαλμοῖσιν ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε, οὔ σ' ἐλεήσει οὐδέ τί σ' αἰδέσεται». Ἴδε Κόβητον ἐν Μνημοσ. 1875. σελ. 372. Πρβ. καὶ 1862, σελ. 307.

Αἰσχύλ. Ἀποσπ. 281 Ναυκ. «εἰ γάρ τιν' ἑστιοῦχον ὄψομαι μόνον — στέγην πυρώσω καὶ κατανθρακώσομαι».

Σοφοκλ. Ἀντιγ. 93 «εἰ ταῦτα λέξεις, ἐχθαρεῖ μὲν ἐξ ἐμοῦ, ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ» καὶ Φιλοκτ. 66 «εἰ δ' ἐργάσει μὴ ταῦτα, λύπην πᾶσιν Ἀργείοις βαλεῖς». Πρβ. καὶ Αἴ. 1313 (καὶ Ἀντιγ. 234).

Εὐριπ. Ἀποσπ. 5 Ναυκ. «εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά».

Κρατῖν. Ἀποσπ. 186 Κοκκ. «εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα, ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν».

Ἀριστοφ. Πλοῦτ. 65 «εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς» καὶ Ὄρν. 177 «ἀπολαύσομαί τί γ', εἰ διαστραφήσομαι» καὶ Λυσιστρ. 439 «εἰ τἄρα νὴ τὴν Πάνδροσον ταύτῃ μόνον τὴν χεῖρ' ἐπιβαλεῖς, ἐπιχεσεῖ πατούμενος» καὶ Σφ. 254 «εἰ νὴ Δί' αὖθις κονδύλοις νουθετήσεθ' ἡμᾶς, ἀποσβέσαντες τοὺς λύχνους ἄπιμεν οἴκαδ' αὐτοί». Ὀκνοῦμεν δέ πως νὰ ὑπομνήσωμεν ὅτι τὸ ἄπιμεν εἶνε μέλλων χρόνος. Σημειωτέον δ' ὅτι ἐν τῷ πρώτῳ χωρίῳ φέρεται καὶ ἡ γραφὴ «ἢν μὴ φράσῃς γάρ».

Ἀντιφάν. Ἀποσπ. 52,5 «ἀποκτενεῖς — μ', εἰ μὴ γνωρίμως μοι πάνυ φράσεις κρεῶν χύτραν».

Ἄλεξ. Ἀποσπ. 150 Κοκκ. «εἰ μὴ γὰρ ὢν ἄνθρωπος ἀνθρώπου τύχαις ὑπηρετήσω, ποῦ φανήσομαι φρονῶν;».

Θεόκρ. Εἰδυλλ. Ε΄, 148 «εἴ τιν' ὀχευσεῖς τᾶν αἰγῶν, φλασσῶ τυ».

Ἡρόδ. Β΄, 13 «εἰ μὴ ἐθελήσει σφι ὕειν ὁ θεὸς ἀλλ' αὐχμῷ διαχρᾶσθαι, λιμῷ οἱ Ἕλληνες αἱρεθήσονται» καὶ Γ΄, 143 «Μαιάνδριος δὲ νόῳ λαβὼν ὡς, εἰ μετήσει τὴν ἀρχήν, ἄλλος τις ἀντ' αὐτοῦ τύραννος καταστήσεται κτέ.». Ὁ Κόβητος γράφει ἐν τῇ Μνημοσύνῃ 1884,

σελ. 274 «(Herodot) VIII. 62: εἰ δὲ ταῦτα μὴ ποιήσΗΙΣ, ἡμεῖς μὲν — κομιεύμεθα ἐς Σῖριν. Vera lectio est: εἰ δὲ ταῦτα μὴ ποιήσΕΙΣ. cf. VIII. 3: γνόντες εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης ὡς ἀπολέεται ἡ Ἑλλάς. Nihil interest inter εἰ μὴ ποιήσεις et ἢν μὴ ποιήσῃς, sed εἰ μὴ ποιήσῃς soloeca oratio est». Περὶ τῆς τοῦ ὑποθετικοῦ συνδέσμου ΕΙ μεθ' ὑποτακτικῆς συντάξεως θὰ διαλάβωμεν ἀκριβῶς ἐν ἑτέρῳ κεφαλαίῳ. Παρατηρητέον δ' ὅτι κεῖται παρὰ τῷ Ἡροδότῳ βιβλ. Η', 62: σὺ εἰ μενέεις αὐτοῦ καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός· εἰ δὲ μή, ἀνατρέψεις τὴν Ἑλλάδα». Ἐλέχθη δ' ὑπὸ τοῦ Ἡροδότου «εἰ (μὲν) μενέεις αὐτοῦ», ὡς παρετηρήθη καὶ ὑπ' ἄλλων. Ἴδε Κόβητον ἐν *Mnemos*. 1884, σελ. 273.

Θουκυδ. Α', 40,6 «εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε» καὶ 81 «εἰ μὴ γὰρ ἢ ναυσὶ κρατήσομεν ἢ τὰς προσόδους ἀφαιρήσομεν — βλαψόμεθα τὰ πλείω» καὶ Γ', 47 «εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τῶν Μυτιληναίων — πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας κτείνοντες, ἔπειτα καταστήσετε κτέ.». Πρβ. καὶ Ε', 26,2 καὶ ϛ', 91.

Λυσ. κατ' Ἐρατοσθ. 90 «εἰ μὲν γὰρ τούτου καταψηφιεῖσθε, δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις· εἰ δὲ ἀποψηφιεῖσθε, ὀφθήσεσθε τῶν αὐτῶν ἔργων ἐπιθυμηταὶ τούτοις ὄντες καὶ οὐχ ἕξετε λέγειν κτέ.». Πρβ. καὶ Ἐπιταφ. 22 «ὡς εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴασιν, ἐκείνοις καὶ Ἀθηναίοις πολεμήσουσιν — εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν ἑτέρους σῴζοντας φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν καταθέσθαι».

Ξενοφ. Κύρ. Παιδ. Β', α', 8 «εἴ τι πείσονται Μῆδοι, εἰς Πέρσας τὸ δεινὸν ἥξει» καὶ Ζ', α', 19 «νῦν γὰρ εἰ φθάσομεν τοὺς πολεμίους κατακανόντες, οὐδεὶς ἡμῶν ἀποθανεῖται» (Ἴδε Κυνῆρον ἐν Διεξοδ. Γραμμ. τῆς Ἑλλην. Γλώσσ. Τόμ. Β', σελ. 969 ἐκδ. β'). Ἀλλ' ὑπάρχει καὶ γραφὴ ἢν φθάσωμεν, ἣν εὐλόγως ἐγκρίνει ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1875, σελ. 400 λέγων «Rectissime Codex D. ἢν φθάσωμεν. Futurum est φθήσομαι». Ἴδε καὶ Ῥουθερφόρδιον εἰς Φρύν. σελ. 398 κέ καὶ Οὔγιον ἐν τῇ ἐκδόσει τῆς Κύρου Παιδείας σελ. ξθ' καὶ σελ. οϛ'.

Πλάτ. Ἀπολ. σελ. 28, Γ' «εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ

τὸν φόνον καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανεῖ» καὶ Πολιτ. σελ. 361, Γ' «εἰ γὰρ δόξει δίκαιος εἶναι, ἔσονται αὐτῷ τιμαὶ καὶ δωρεαί» καὶ σελ. 610, Δ' «οὐκ ἄρα πάνδεινον φανεῖται ἡ ἀδικία, εἰ θανάσιμον ἔσται τῷ λαμβάνοντι». Πρβ. Κρίτ. σελ. 52, Α' «ταύταις δὴ φαμὲν καὶ σὲ — ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς». Παρατηρητέον δ' ὅτι ὁ Ναβῆρος ἐν *Quaest. Homer* σελ. 127 ἔγραψεν «αὐτίκ' ἀποθανεῖ» ἀντὶ τοῦ «αὐτὸς ἀποθανεῖ». Ἐν τῷ Γοργίᾳ σελ. 495, Α' φέρεται «διαφθείρεις, ὦ Καλλίκλεις, τοὺς πρώτους λόγους καὶ οὐκ ἂν ἔτι μετ' ἐμοῦ ἱκανῶς τὰ ὄντα ἐξετάζοις, εἴπερ παρὰ τὰ δοκοῦντα σαυτῷ ἐρεῖς». Μεταβάλλει δὲ ὁ Κόβητος ἐν τῇ Μνημοσύνῃ 1874, σελ. 139 τὸν ἐνεστῶτα διαφθείρεις εἰς τὸν μέλλοντα διαφθερεῖς λέγων «Futurum in εἴπερ ἘΡΕΙΣ argumento est διαφθερεῖς non διαφθείρεις, a Platone esse scriptum. In eam compositionis legem Veteres non peccant. Nihil est autem in Codicibus Mss. tritius quam verborum liquidatorum *futuri* forma perperam in *praesentis* formam conversa».

Ἰσαῖ. περὶ τοῦ Δικαιογ. Κλήρ. 3 «εἰ οὖν ταῦτ' ἐρεῖ, ψεύσεται καὶ ῥᾳδίως ἐξελεγχθήσεται». Πρβ. καὶ περὶ τοῦ Ἁγν. Κλήρ. 4.

Ἰσοκρ. Ἀρχιδ. 107 «εἰ δὲ φοβησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς».

Δείναρ. κατὰ Δημοσθ. 88 «εἰ μὲν καθ' ὅσον ἐστὶ δυνατὸν ἐκβαλεῖτ' ἐκ τῆς πόλεως καὶ παύσετε τοὺς ῥᾳδίως καθ' ὑμῶν χρήματα λαμβάνοντας, σωθησόμεθα, θεῶν βουλομένων εἰ δ' ἐπιτρέψετε τοῖς ῥήτορσι πωλεῖν ὑμᾶς αὐτούς, περιόψεσθε τὴν πόλιν ἀνατραπεῖσαν ὑπὸ τούτων».

Δημοσθ. σελ. 627,23 «εἰ μὲν δὴ μέτοικον φήσομεν, οὐκ ἐροῦμεν ἀληθῆ· εἰ δ' αὖ ξένον, οὐχὶ δίκαια ποιήσομεν» καὶ σελ. 634,7 «οὐκοῦν, εἰ μὲν ἐάσομεν ὑμᾶς τούτων συμβάντων, οὐ καθαροῖς οὖσιν ὁμοῦ διατρίψομεν· εἰ δ' ἐπέξιμεν, οἷς ἐγνώκαμεν, αὐτοὶ τἀναντία πράττειν ἀναγκασθησόμεθα» (Πρβ. καὶ σελ. 1160,70)

Παντὶ περὶ τὰ Ἑλληνικὰ γράμματα ἀσχολουμένῳ γνωστὴ ὑπάρχει ἡ ἐν ταῖς Φοινίσσαις τοῦ Εὐριπίδου ἀπαντῶσα ῥῆσις στίχ. 19 «εἰ γὰρ τεκνώσεις παῖδ', ἀποκτενεῖ σ' ὁ φύς». Ὀλίγοι δ' ἴσως ἀγνοοῦσι τὸ ὑπὸ τοῦ τραγικοῦ Ἀγάθωνος εἰρημένον παρ' Ἀθηναίῳ σελ. 211, Ε' «εἰ μὲν φράσω τἀληθές, οὐχί σ' εὐφρανῶ· εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω».

Τὸ ἐν τοῖς Μονοστίχοις Γνώμαις στίχ. 172 «εἰ μὴ φυλάσσεις μίκρ᾽, ἀπολεῖς τὰ μείζονα» μετετυπώθη ὑπὸ τοῦ Βρουγκίου εἰς τὸ φυλάξεις». Ἐν δὲ τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου σελ. 275, Β΄ φέρεται διττὴ γραφὴ «εἰ χάριν ὁμολογήσειας μαθών, λέξω» καὶ ὁμολογήσεις, ἣν προέκρινεν ὁ Καιβέλιος ἐν τῇ ἐκδόσει τοῦ Ἀθηναίου Τόμ. Β΄, σελ. 111,3 (Ἴδε καὶ Κόβητον ἐν *Briev. van Cobet ann Geel* σελ. 570).

Ἐν τοῖς ὑπὸ τοῦ Σπεγγέλου ἐκδεδομένοις Ῥήτορσι Τόμ. Β΄, σελ. 182,14 εἶνε γεγραμμένον «εἰ μὲν οὖν τοῖς κατηγόροις πειθόμενοι τὴν γυναῖκα ταύτην παιδοκτόνον ὑπολήψΑΙσθε, οὐκ ὀρθῶς ποιήσετε· εἰ δὲ τὰ πεπραγμένα σκοπήσΑΙτε, κτέ» ἀντὶ τοῦ ὑπολήψΕσθε καὶ σκοπήσΕτε (Ἴδε Ἀθηνᾶν 1890, σελ. 496).

Παρατηροῦμεν ἐν τέλει ὅτι ἐρρήθη μὲν ὑπὸ τοῦ Λυσίου κατ᾽ Ἐπικρ. 7 «ὥστ᾽, **εἰ** μὲν **ἀποψηφιεῖσθε** τούτων, οὐδὲν δεινὸν δόξει αὐτοῖς εἶναι ὑμᾶς ἐξαπατήσαντας ἐκ τῶν ὑμετέρων ὠφελεῖσθαι· **ἐὰν** δὲ καταψηφισάμενοι θανάτου **τιμήσητε,** τῇ αὐτῇ ψήφῳ τούς τ᾽ ἄλλους κοσμιωτέρους ποιήσετε καὶ παρὰ τούτων δίκην εἰληφότες ἔσεσθε», ἐρρήθη δ᾽ ὑπὸ τοῦ Ἰσαίου περὶ τοῦ Νικοστρ. Κλήρ. 25 «**εἰ** μὲν οἵδε κατὰ τὸ γένος ἀμφισβητοῦντες **λήψονται** τὸν κλῆρον, ἐξέσται καὶ τούτοις — **ἐὰν** δὲ Χαριάδης αὐτῶν **κληρονομήσῃ**, οὐκ ἔσται οὐδενὶ συγγενεῖ ἐπὶ τὰ Νικοστράτου ἐλθεῖν» (Πρβ. Ἀθηνᾶν 1890, σελ. 498).

ΚΕΦ. ΚΖ΄.

Ὀλβίζω καὶ παθητικῶς **ὀλβίζομαι**.

Ὁ Δημ. Ν. Βερναρδάκης γράφει ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου Τόμ. Γ΄, σελ. 218 «Τὸ ἕνεκα ἢ οὕνεκα προφανῶς ἦτο γλῶσσα ἐξηγητικὴ παρεμβλήματος· ὅθεν καὶ ἀπεβλήθη ὑπὸ τοῦ Βαρνεσ. ὀρθότατα, καὶ ὑπὸ Μαρκλ. καὶ Πόρσων. παραβαλόντων τὸ Πλάτων. 58 Ε «εὐδαίμων μοι ὁ ἀνὴρ ἐφαίνετο καὶ τοῦ τρόπου καὶ τῶν λόγων», ὅπου ἐξυπακούεται τὸ ἕνεκα καὶ ἐλλεῖπον, καὶ Ἰφ. Τ. 1490 - 1, κτλ. Ἐννοεῖται δ᾽ οἴκοθεν, ὅτι, ἀφ᾽ οὗ ἔτυχεν ἡ καλὴ εὐκαιρία, δὲν ἔλειψεν ὁ Ἑρμ. νὰ διορθ. «ὀλβιζοίμεθ᾽ ἄν» ἄνευ τῆς

ἐλαχίστης ἀνάγκης. Τοῦ «ὀλβίζω» δὲν ὑπάρχει παρὰ τοῖς ἀρχαίοις παθητικὸς τύπος ἀλλ', ἐπειδὴ ἡ ἔλλειψις αὕτη ὁσάκις μὲν ὑπάρχει ἐν τῷ κειμένῳ, εἶνε ἁμαρτία εἰς τὸ ὁμοούσιον. ὁσάκις ὅμως ἐν τοῖς διορθώμασιν, εἶνε πάντοτε τεκμήριον γνησίας Εὐριπιδείου χειρός, παρελήφθη εἰς τὸ κείμενον καὶ ὑπ' ἄλλων ἐκδοτῶν».

Αγροίκως ἑκάστοτε καὶ σκαιῶς ὁ Δ. Βερναρδάκης ἐν τῇ ἐκδόσει τῶν Δραμάτων τοῦ Εὐριπίδου δυσφημεῖ τοὺς κριτικοὺς ὡς ἀείποτε σχεδὸν μωρολογοῦντας καὶ οὐδὲν ὑγιὲς φθεγγομένους· καὶ νῦν δ' ἀμούσως καὶ ἀχαρίτως καθάπτεται αὐτῶν λαβὼν ἀφορμὴν ἐκ τῆς ὑπὸ τοῦ Ἑρμαννοῦ γενομένης ἐν τῷ Εὐριπιδείῳ χωρίῳ ἀναγνώσεως ὀλβιζοίμεθ' ἄν. Ἂν ἁπλῶς ἀπεδοκιμάζετο ἡ ἀνάγνωσις αὕτη ὑπὸ τοῦ Βερναρδάκη, ἥκιστ' αὐτὴν ἀναγκαίαν ἢ εὔλογον εὑρίσκοντος, οὐδαμῶς ἡμεῖς θ' ἀντελέγομεν αὐτῷ. Ἀλλ' ὁ θαυμάσιος ἄνθρωπος δοξάζει τερατευόμενος καὶ φρυαττόμενος ὅτι κατ' οὐδένα τρόπον ἦτο δυνατὸν νὰ φέρηται παρὰ τῷ Εὐριπίδῃ ὀλβιζοίμεθ' ἄν, ὡς ἀνυπάρκτου ὄντος παρὰ τοῖς ἀρχαίοις τοῦ παθητικοῦ τύπου τοῦ ῥήματος ὀλβίζω. Εὐκολώτατον παντὶ ἀποβαίνει νὰ γινώσκῃ ὅτι ἀπαντῶσιν ἐν τῇ τραγικῇ ποιήσει οἱ παθητικοὶ χρόνοι ὠλβιζόμην καὶ ὠλβίσθην καὶ ὤλβισμαι, οἷον Σοφ. Ἠλ. 693 «ἐνεγκὼν πάντων τἀπινίκια ὠλβίζετ', Ἀργεῖος μὲν ἀνακαλούμενος, κτέ» καὶ Ἀποσπ. 856 (σελ. 330 Ναυκ.) «τίς δ' οἶκος ἐν βροτοῖσιν ὠλβίσθη ποτὲ γυναικὸς ἐσθλῆς χωρὶς ὀγκωθεὶς χλιδῇ;» καὶ Εὐριπίδ. Τρῳ. 1253 «μέγα δ' ὀλβισθεὶς ὡς ἐκ πατέρων ἀγαθῶν ἐγένου» καὶ Ἰφιγ. Α. 51 «ταύτης οἱ τὰ πρῶτ' ὠλβισμένοι μνηστῆρες ἦλθον Ἑλλάδος νεανίαι». Οὐδεὶς δ' οὐδέποτε ὑγιαίνων τὸν νοῦν θὰ ἰσχυρίζετο ὅτι οὔτ' ἐρρήθη οὔτ' ἦτο δυνατὸν νὰ ῥηθῇ ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ὁ παθητικὸς ἐνεστὼς ὀλβίζομαι, ἐξ οὗ ἐσχηματίσθησαν οἱ παρῳχημένοι χρόνοι ὠλβιζόμην καὶ ὠλβίσθην καὶ ὤλβισμαι.

Παρατηρητέον δ' ὅτι ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 1558,49 φέρεται «ἰστέον δ' ὅτι τὸ ἐσθλοῖς ἠδὲ κακοῖς οἱ μὲν ἐπὶ ἀνθρώπων νοοῦσι τῶν ὀλβιζομένων, οἱ δὲ οὐδέτερα ταῦτα ὀνόματα ἐκδέχονται» καὶ σελ. 1835,1 «οἷα τοῦ μὲν Ἴρου Ἄρου μενοῦντος, αὐτοῦ δὲ ὀλβισθησομένου». Κεῖται δὲ καὶ παρὰ Νικήτᾳ τῷ Χωνιάτῃ σελ. 100,1 Βόνν. «πόλιν ἀφνειὸν καὶ κειμένην πρὸς τῷ Ἰσθμῷ καὶ ὀλβιζομένην ὑπὸ λιμένων δυοῖν». Πρβ. καὶ σελ.

267,21 «ἐλάνθανεν ἑαυτὸν ἐρασιχρημάτους ὀλβίζων βαρβάρους καὶ εὖ ποιῶν ἀνδράρια κακοδαίμονα» καὶ Κωνσταντ. Μανασσ. 6102 (σελ. 259 Βόνν.) «ψυχαγωγῶν τοὺς ἐνδεεῖς, ὀλβίζων τοὺς ἀπόρους». Εὑρέθη δὲ καὶ τὸ σύνθετον ἐξολβίζομαι καὶ ἐξωλβίσθην παρὰ Γεωργίῳ τῷ Παχυμέρει (Παχυμέρῃ) Τόμ. Β', σελ. 415,1 «αὐτὸς δὲ μυρίον πλοῦτον εὑρὼν ἐξολβίζεται» καὶ σελ. 568,15 «δέον παρ' ἐχθρῶν πλουτεῖν, ἐκ τῶν ἡμετέρων ἐξωλβίσθητε».

Ὅμοια τῷ ῥήματι ὀλβίζω ὑπάρχουσιν ἐν τῇ Ἑλληνικῇ γλώσσῃ τὸ μακαρίζω καὶ εὐδαιμονίζω καὶ ταλανίζω. Πρβ. κακίζω καὶ φαυλίζω - ἐκφαυλίζω καὶ εὐτελίζω - ἐξευτελίζω. Λέγεται δὲ καὶ παθητικῶς μακαρίζομαι καὶ εὐδαιμονίζομαι, οἷον Θουκυδ. Β', 51,6 «ἐμακαρίζοντό τε ὑπὸ τῶν ἄλλων καὶ αὐτοὶ κτέ.» καὶ Ξενοφ. Κύρ. Παιδ. Η', ζ', 9 «ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι;» καὶ Κυνηγ. Α', 11 «σωφροσύνῃ δὲ καὶ ὁσιότητι μακαρισθεὶς ἐτελεύτησε» καὶ Πλάτ. Συμποσ. σελ. 216, Ε' «οὔτ' εἴ τις πλούσιος οὔτ' εἰ ἄλλην τινὰ τιμὴν ἔχων τῶν ὑπὸ πλήθους μακαριζομένων» καὶ Γοργ. σελ. 473, Γ' «ζηλωτὸς ὢν καὶ εὐδαιμονιζόμενος ὑπὸ τῶν πολλῶν» καὶ Θεαιτ. σελ. 174, Δ' «οἷον συβώτην ἢ ποιμένα ἤ τινα βουκόλον ἡγεῖται ἀκούειν εὐδαιμονιζόμενον πολὺ βδάλλοντα» καὶ Πολιτ. σελ. 465, Δ' «διὰ σμικρόν που μέρος εὐδαιμονίζονται ἐκεῖνοι ὧν τούτοις ὑπάρχει» καὶ Νόμ. σελ. 899, Ε' «δόξαις δὲ εὐδαιμονιζόμεναι». Ἐπ' ἐμφεροῦς ἐννοίας τῷ μακαρίζω ἢ εὐδαιμονίζω γίνεται χρῆσις ἐν τῇ κοινῇ ἡμῶν γλώσσῃ τοῦ καλοτυχίζω ἢ καλοτυχάω.

ΚΕΦ. ΚΗ'.

Εὐδαίμων τινός, κτλ. εὐδαιμονίζω τινά τινος, θαυμάζω τινά τινος, κτλ.

Ἐν τῷ Φαίδωνι τοῦ Πλάτωνος σελ. 58, Ε' φέρεται «εὐδαίμων μοι ἀνὴρ ἐφαίνετο καὶ τοῦ τρόπου καὶ τῶν λόγων». Σημειοῦται δ' ὁ Ἄστιος ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. ΙΑ', σελ. 492 «De genitivis τοῦ τρόπου et τῶν λόγων cum adi. εὐδαίμων ceniunctis v. *El-*

msl. ad Eurip. Med. 996. *Matth* Gr. p. 685 et *Bernhardy* Synt. p. 171». Παρατιθέμεθα ἣν ὁ Ἐλμσλήιος ἐποιήσατο παρατήρησιν ἐν τῇ ἐκδόσει τῆς Μηδείας σελ. 252 Λιψ. «996 ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας»: Sic pleraeque editiones. Nonnullae auctore Beckio, ni fallor, ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας. Quae ratio longe melior est. Noster Heracl. 448. ὦ δυστάλαινα τοῦ μακροῦ βίου σέθεν. Hipp. 570. ὦ δυστάλαινα τῶν ἐμῶν παθημάτων. Ibid. 1407. Ὦ δυστάλας σὺ τῆσδε συμφορᾶς, πάτερ. El. 1109. οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων. Plato Phaedone p. 58. E. εὐδαίμων μοι ὁ ἀνὴρ ἐφαίνετο, ὦ Ἐχέκρατες, καὶ τοῦ τρόπου καὶ τῶν λόγων, ὡς ἀδεῶς καὶ γενναίως ἐτελεύτα. Hoc exemplum attulit Matthiae Gramm. Gr. § 348». Πρβ. καὶ Ἑκ. 157 «δειλαία δειλαίου γήρως» καὶ 783 «ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων» καὶ Ἑλ. 240 «ὦ τάλαινα συμφορᾶς» καὶ Σοφοκλ. Οἰδ. Τ. 1347 «δείλαιε τοῦ νοῦ τῆς τε συμφορᾶς ἴσον» κτλ. (Ἴδε Σχαιφῆρον ἐν τῇ ἐκδόσει τῶν Ἐλλείψεων τοῦ Βοσίου σελ. 706 καὶ Κυνῆρον ἐν τῇ Διεξοδικῇ Γραμματικῇ τῆς Ἑλλην. Γλώσσης Τόμ. Β', α', σελ. 389 ἐκδ. Γερθ.) Κατὰ τὸν αὐτὸν τρόπον ἐρρήθη ὑπὸ τοῦ Ἀριστοφάνους Σφ. 1292 «ἰὼ χελῶναι μακάριαι τοῦ δέρματος» καὶ 1512 «ὦ μακάριε τῆς εὐπαιδίας» καὶ Ὄρν. 1423 «ὦ μακάριε τῆς τέχνης» καὶ Ἱππ. 186 «ὦ μακάριε τῆς τύχης» (Πρβ. καὶ Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῆς Ἀριστοφάνους Εἰρήνης σελ. 229).

Λέγεται δ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ εὐδαιμονίζω τινά τινος καὶ θαυμάζω τινά τινος, κτλ. Ὁ Σχαιφῆρος γράφει ἐν τῇ ἐκδόσει τῶν Ἐλλείψεων τοῦ Βοσίου σελ. 706. «Ἦτ' ἐφάμην τίσασθαι Ἀλέξανδρον κακότητος». Ubi Eustathius: ἤγουν ἕνεκεν τῆς κακίας, Ἀττικὴν ἔχει ἔλλειψιν. Sic θαυμάζω σε τῆς ἀρετῆς: ζηλῶ, εὐδαιμονίζω, ἐπαινῶ σε τῆς τύχης. Demosthenes pro Ctesiph. Τίς οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς; sc. ἕνεκα τῆς ἀρετῆς τῶν ἀνδρῶν — Φίλιππον εὐδαιμονίσας τῆς τύχης — Plato Criton. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου· ubi v. Fischer. Philostratus Her. p. 36 Boiss. Εὐδαιμονίζω σε τῆς ἱστορίας. Schol. μακαρίζω ἕνεκα. ἦρα addit Callimachus Fragm. XLI. τῖον δέ ἑ πάντες ὁδῖται Ἥρα φιλοξενίης. ubi fallitur Bentleius. Vid. Valckenar. in Aram Dosiadae Dieatr. in

Eurip. Fragm. p. 130. Euripides Iphig. Aul. v. 370. Ἑλλάδος μάλιστ' ἔγωγε τῆς ταλαιπώρου στένω. Marklandus: Ante Ἑλλάδος intellige ἕνεκα — Hunc versum respicit Eubulus Comicus ap. Athenae. XIII. 3 p. 569. A. Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου πέρι Στένω». quem conf. etiam ad v. 1246. ubi tamen nollem usus esset v. 1336 nam ibi genitivus regitur a participio τυχοῦσαν». Λέγει δὲ καὶ ὁ Ἀσώπιος ἐν τῇ Β' Περιόδῳ τοῦ Συντακτικοῦ σελ. 258 § 14 ἐκδ.β' «Τὰ ἀγάπης, μίσους, ἐπαίνου, ψόγου, μακαρισμοῦ, θαυμασμοῦ, οἴκτου, κολάσεως καὶ τῶν τοιούτων σημαντικὰ ῥήματα, κατ' αἰτιατικὴν μὲν ἐκφέροντα τὸ ἀγαπώμενον, μισούμενον, κτλ. ὡς ἄμεσον ἀντικείμενον, κατὰ γενικὴν δὲ τὸ αἴτιον δι' ὃ γίνεται ἡ ἀγάπη, τὸ μῖσος κτλ., ἄνευ ἢ μετὰ τοῦ ἕνεκα ἢ χάριν — μακαρίζω ὑμᾶς τοῦ κτήματος (Πλ.) [Πλάτ. Εὐθυδ. σελ. 274. Α'] — τοῦτον ἀγασθεὶς τῆς ἐπιμελείας (Ξ) [Ξενοφ. Κύρ. Παιδ. Β', γ'. 21] — τοὺς θέλοντας θεραπεύειν τὰς τοιαύτας πόλεις καὶ προθυμουμένους οὐκ ἄγασαι τῆς ἀνδρίας (γρ. ἀνδρείας) τε καὶ εὐχερείας; (Πλ. Πολ. Δ'. 426) — τοὺς ἀγγέλλοντας τὰ τοιαῦτα καὶ περιφόβους ὑμᾶς ποιοῦντας τῆς μὲν τόλμης οὐ θαυμάζω, τῆς δὲ ἀξυνεσίας (Θ. Ϛ', 36). — τῆς εὐλαβείας καὶ καλοκἀγαθίας τὸν Κάμιλλον ἐθαύμασαν (Πλούτ.) [Πλούτ. Καμίλλ. ΚΔ'] — ὁ Κῦρος τοῦ πάθους ᾤκτειρεν αὐτόν (Ξ) [Ξενοφ. Κύρ. Παιδ. Ε', δ', 32] — στένω σὲ μᾶλλον ἢ μὲ (γρ. 'μὲ) τῆς ἁμαρτίας (Εὐρ.) [Εὐρ. Ἱππολ. 1409]. — Οἴαξ Παλαμήδους σε τιμωρεῖ φόνου (Εὐρ. Ὀρ. 433), κτλ. — τίσασθαι μνηστῆρας ὑπερβασίης (Ὀδ. Γ, 206)».

Ἔχει δέ τις καὶ ἄλλα οὐκ ὀλίγα παραδείγματα τῆς τοιαύτης συντάξεως νὰ μνημονεύσῃ ἔκ τε ποιητῶν καὶ συγγραφέων τοῦ τε παλαιοῦ καὶ τοῦ μεταγενεστέρου ἑλληνισμοῦ, οἷον

Αἰσχύλ. Ἀγαμ. 1321 «ὦ τλῆμον, οἰκτίρω σε θεσφάτου μόρου» Πρβ. Ἱκέτ. 209.

Σοφ. Ἠλ. 1027 «ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ». Ἀποσπ. 525 (σελ. 258 Ναυκ. ἐκδ. β') «πολλά σε ζηλῶ βίου».

Εὐριπ. Ἰφ. Α. 677 «ζηλῶ σὲ μᾶλλον ἢ 'μὲ τοῦ μηδὲν φρονεῖν» καὶ 1371 «τὸν μὲν οὖν ξένον δίκαιον αἰνέσαι προθυμίας» καὶ 1407 «ζηλῶ δὲ σοῦ μὲν Ἑλλάδ', Ἑλλάδος δὲ σέ».

Ἀριστοφ. Σφ. 429 «εἰ δὲ μή, φήμ' ἐγὼ τὰς χελώνας μακαριεῖν σε τοῦ δέρματος» καὶ 1450 «ζηλῶ γε τῆς εὐτυχίας τὸν πρέσβυν». Ἱππ. 837 «ζηλῶ σε τῆς εὐγλωττίας». Ἀχαρν. 1008 «ζηλῶ σε τῆς εὐβουλίας, μᾶλλον δὲ τῆς εὐωχίας ὤνθρωπε».

Πλάτ. Ἴων. σελ. 530, Β' «καὶ μὴν πολλάκις γε ἐζήλωσα ὑμᾶς τοὺς ῥαψῳδούς, ὦ Ἴων, τῆς τέχνης» καὶ Συμπ. σελ. 194, Ε' «ἀλλὰ τοὺς ἀνθρώπους εὐδαιμονίζειν τῶν ἀγαθῶν, ὧν ὁ θεὸς αὐτοῖς αἴτιος» καὶ Πολιτ. σελ. 561, Ε' «ὃν πολλοὶ ἂν καὶ πολλαὶ ζηλώσειαν τοῦ βίου».

Ξενοφ. Ἀν. Α', ζ', 3 «ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας ἧς κέκτησθε καὶ ἧς ὑμᾶς ἐγὼ εὐδαιμονίζω» καὶ Συμποσ. Δ', 45 «ζηλῶ σε τοῦ πλούτου».

Λυσ. Ἐπιταφ. 71 «ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι καὶ τοὺς προσήκοντας αὐτῶν ἐλεεῖν τοῦ ἐπιλοίπου βίου» καὶ 81 «ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου καὶ ζηλῶ». Πρβ. καὶ πρὸς Σίμ. 44 «θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας».

Ἰσοκρ. Πανηγ. 91 «Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς Μαραθῶνι μάχης» καὶ Παναθ. 260 «νῦν δὲ ζηλῶ σε καὶ μακαρίζω τῆς εὐδαιμονίας» καὶ Ἐπιστ. ϛ', 14 «τοὺς μὲν οὖν ταύτην ἔχοντας τὴν διάνοιαν ζηλῶ τῆς ῥαθυμίας».

Δημοσθ. σελ. 550,109 «ἐν οἷς ἀδίκως ἐκβαλών τινα καὶ προπηλακίσας αὐτὸν εὐδαιμονιεῖ τῆς περιουσίας».

Ψευδαριστ. περὶ Κόσμ. Α' (Τόμ. Γ', σελ. 627,20 Διδ.) «διὸ καὶ τοὺς μετὰ σπουδῆς διαγράψαντας ἡμῖν ἑνὸς τόπου φύσιν -- οἰκτίσειεν ἄν τις τῆς μικροψυχίας».

Διονύσ. Ἁλικαρ. Ῥωμ. Ἀρχαιολ. σελ 102 «ἀγασθεὶς δὲ τοὺς ἀνθρώπους τῆς φιλοξενίας Ἡρακλῆς» καὶ σελ. 577 «ἀγάμενοι τὸν ἄνδρα τῆς τε περὶ τὰ πολιτικὰ καὶ τῆς περὶ τὰ πολέμια ἀρετῆς» καὶ σελ. 989 «ἐφ' οἷς ἀγασθέντες τὸν ἄνδρα τῆς πρὸς αὐτοὺς τιμῆς οἱ σύνεδροι» καὶ σελ. 1259 «οἱ δὲ στρατιῶται καὶ πρότερον ἀγάμενοι τὸν ἄνδρα τῆς γενναιότητος, ἔτι μᾶλλον ἐθαύμασαν τῆς ὑπεροψίας τοῦ πλούτου» καὶ σελ. 1780 «ἀγασθέντων δ' αὐτοὺς ἁπάντων τοῦ γενναίου τῆς προθυμίας» καὶ περὶ Ἐσχηματισμ. Α', 14 (σελ. 64, 19 Οὐσ.) «ἐπαινεῖ μὲν γὰρ τὸν Διομήδην τῶν εἰρημένων».

Λουκιαν. Δὶς Κατηγ. 1 «οὐκ ἂν ἡμᾶς τοῦ νέκταρος ἢ τῆς ἀμ-

βροσίας ἐμακάριζον». Ἐνυπν. 12 «θαυμάζοντες καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως καὶ τὸν πατέρα τῆς εὐποτμίας». Ἑρμοτ. 42 «ἐπαινέσω σε τῆς συνέσεως». Νιγρίν. 21 «ἐπαινῶ δέ γε ταύτης αὐτοὺς τῆς ἀπανθρωπίας». Περὶ τῶν ἐπὶ μισθ. συν. 16 «καὶ ἄρτι μὲν εὐδαιμονίζεις τὸν πλούσιον τοῦ χρυσοῦ καὶ τοῦ ἐλέφαντος καὶ τῆς τοσαύτης τρυφῆς, ἄρτι δὲ οἰκτίρεις σεαυτὸν κτέ.». Λεξιφ. 16 «ἠλέουν σε τῆς κακοδαιμονίας». Φαλ. Α', 10 «ἀπῆλθεν ἐπαινῶν με τῆς δικαιοσύνης καὶ ἐλεῶν τῆς ἀναγκαίας ὠμότητος» Θε. Διαλ. Κ', 13 «ἐγὼ γὰρ πάλαι ὁρῶσά σε νέον ὄντα καὶ καλὸν — μακαρίζω μὲν τοῦ κάλλους, αἰτιῶμαι δὲ κτέ.». Ἀποκηρυττομ. 18 «ἐμὲ μιμεῖται καὶ ζηλοῖ τοῦ φίλτρου». Ἀλ. 6 «λόγῳ μὲν ἐμὲ ζηλοῦσι τῆς ἀνθολογίας, τὸ δ' ἀληθὲς ὑμᾶς καὶ τὸν λειμῶνα τὸν ὑμέτερον». Ψευδολουκ. Δημοσθ. Ἐγκωμ. 33 «Δημοσθένην δ' αὐτὸν ὑπερηγάμην τοῦ τε φρονήματος καὶ τῆς συνέσεως» καὶ 34 «θαυμάζω δὲ τῆς ἀρετῆς καὶ μακαρίζω γε τοῦ κτήματος τὴν πόλιν».

Πλούτ. Ἀντων. ΟΖ' «αὐτὸν δὲ μὴ θρηνεῖν ἐπὶ ταῖς ὑστάταις μεταβολαῖς ἀλλὰ μακαρίζειν ὧν ἔτυχε καλῶν» καὶ Ἀγησ. ΙΕ' «πῶς οὐκ ἦν ἄξιον τὴν Σπάρτην μακαρίσαι τῆς Ἀγησιλάου τιμῆς πρὸς ταύτην καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας;» καὶ ΚΘ' «οὐδὲν ἄν τις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἠγάσθη τὴν ἡττημένην πόλιν ἢ τὴν νικῶσαν» καὶ Κράσσ. ΚΑ' «Κράσσον δὲ τῆς δυνάμεως μακαρίσας ἐμέμφετο τῆς διατριβῆς μέλλοντα καὶ παρασκευαζόμενον» καὶ Δημοσθ. ΚΖ' «ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτόν» καὶ Ψευδοπλούτ. Ἠθικ. σελ. 1, Δ' «πάνυ δ' ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης».

Ἀππιαν. σελ. 549,17 Μενδ. «καὶ αὐτὴν ὁ πατὴρ ἀγάμενος τῆς εὐψυχίας» καὶ σελ. 556,3 «ἀγάμενος αὐτὸν τῆς μεγαλουργίας» καὶ σελ. 827,17 «ὅσα δὴ τῆς ἀρετῆς αὐτὸν ἡμεῖς ἀγάμενοι πάντες ὁμαλῶς — ἐψηφίσασθε».

Πολύαιν. Στρατηγ. Δ', 16 «μακαρίσαντες αὐτοὺς τῆς μετ' Ἀντιόχου στρατείας».

Φιλόστρ. Τόμ. Β', σελ. 166,14 Καυσ. «ὁ δὲ ἡσθεὶς τῇ τοῦ Ἀντιλόχου ὥρᾳ καὶ τῆς προθυμίας ἀγασθεὶς αὐτὸν κτέ.». Ὁ Βοισσονάδης γράφει ἐν τῇ ἐκδόσει τῶν Φιλοστράτου Ἡρωικῶν σελ. 380

«ἄγαμαί σε τοῦ ἑταίρου: Sch. μακαρίζω σε — Editiones σου. A B C E F G I σε, et sic Morellus invenerat, cujus in margine legitur, γρ. σε. Σου stare quidem potest; nam sic Euripides epist. 3. duobus genitivis cum ἄγαμαι usus est: οὐδεὶς ὅστις οὐκ ἠγάσθη τέ σου τῆς φιλανθρωπίας. Sed hic σε praetuli a pluribus codicibus datum, et rationi quam saepius secutus est Philostratus magis adcommodatum. Infra p. 110. τῆς προθυμίας ἀγασθεὶς αὐτόν. Vit. Apoll. III. 2 ἄγασθαι αὐτὸ τῆς φύσεως. V. 4. Θεμιστοκλέα τὸν ναύαρχον σοφίας τε καὶ ἀνδρείας ἀγασθέντες. VI 11 Icon. I. 17 p. 789 αὐτὸν ἠγάσθη τῆς ὥρας Soph. I. 21 p. 521. ὁ πατὴρ δὲ ἠγάσθη τε αὐτὸν τῆς μιμήσεως: Apoll. vit. VI 11. p. 244. μειρακίῳ καλῷ ἐντυχὼν καὶ ἀγασθεὶς αὐτῷ τῆς ὥρας: ubi malim αὐτὸ, prout legitur in A. Attamen dativus αὐτῷ linguae non repugnat; et ipse Philostratus Soph. II. 25. § 5· ἠγάσθη αὐτῷ: sed ibi A e correctione αὐτόν: quod jam notavit Ruhnkenius ad Tim. p. 8. Fere animadverti Nostro accusativum magis placuisse; si quis tamen in adlatis binis locis dativum servare voluerit, me non invitum habebit. Auctor libelli de constructione verborum quem edidit Hermannus p. 409. Ἀπὸ δὲ αἰτιατικῆς εἰς γενικὴν ταῦτα. Ἄγαμαί σε τοῦ φρονήματος .... νοεῖται γὰρ ἐν ἅπασι τούτοις τὸ ἕνεκα, οἷον ἄγαμαί σε ἕνεκα τοῦ φρονήματος .... ταῦτα δὲ πάντα καὶ ἀντιστρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικὴν συντάσσεται, οἷον ἄγαμαί σου τὸ σῶφρον .... Adde Ruhnkenium ad Timaei ἄγαμαι: Piersonum ad Moer. p. 1».

Γαλην. Τόμ. Ι', σελ. 286 «θαυμάζω γὰρ τῆς ἀκριβείας τὸν ἄνδρα». Τόμ. ΙΑ', σελ. 177 «ἐγὼ μὲν οὖν ἐλεῶ τῶν ἁμαρτημάτων τὸν ἄνδρα».

Ἰώσηπ. Τόμ. Β', σελ. 162,3 Νισ. «ὁ δὲ βασιλεὺς ἀγαπᾶν μὲν αὐτὸν τῆς ἁπλότητος καὶ τῆς μεγαλοψυχίας ἔλεγε» καὶ σελ. 374,8 «τὸν Δανίηλον τῆς σοφίας ἀγασάμενος».

Θεμίστ. Λόγ. σελ. 106,15 Δινδ. «ἠγάσθη τὸν ἄνδρα τῆς ἀποκρίσεως».

Ἰουλιαν. σελ. 323,24 Ἑρτλ. «ἐπεὶ καὶ τὸν Ὀδυσσέα μόνον ἐν τῇ νήσῳ καθειργμένον ἑπτὰ τοὺς πάντας ἐνιαυτούς, εἶτ' ὀδυρόμενον, τῆς μὲν ἄλλης ἐπαινῶ καρτερίας, τῶν θρήνων δὲ οὐκ ἄγαμαι» καὶ σελ.

498,13 «ἐγὼ δὲ ἐκεῖνον μέν, εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι» καὶ σελ. 524,8 «τῆς μὲν φύσεως αὐτὸν ἐπαινῶ, τῆς γνώμης δ' οὐκ ἄγαμαι».

Κλήμ. Ἀλεξ. Τόμ. Γ' σελ. 388,10 Δινδ. «ὁ γοῦν Ἰησοῦς οὐκ ἐλέγχει μὲν αὐτὸν ὡς πάντα τὰ ἐκ νόμου μὴ πεπληρωκότα, ἀλλὰ καὶ ἀγαπᾷ καὶ ὑπερασπάζεται τῆς ἐν οἷς ἔμαθεν εὐπειθείας».

Εὐσέβ. εἰς Κωνστ. τὸν βασιλ. τριακοντ. Γ', 1 (Τόμ. Β', σελ. 246 Εἰν.) «τῆς σεμνῆς καὶ καλλιπρεποῦς θυσίας τὸν ἱεροφάντην ἀγάμενος».

Σωζομ. Ἐκκλησ. Ἱστορ. σελ. 503,12 Οὐσσ. «ἄγασθαι δίκαιον ἀνδρείας καὶ παιδεύσεως τὸν γράψαντα» καὶ σελ. 704 «ἐγὼ δὲ καὶ τῆς παραιτήσεως ἐπαινῶ τὸν ἄνδρα» καὶ σελ. 768 «ὃν ἀγάμενοι τῆς ἀρετῆς οἱ περὶ τὸν Ἴστρον Οὖννοι βάρβαροι κτέ.».

Ξενοφ. Ἐφέσ. Ε', δ', 7 «ἅμα δὲ ἤρα τῆς Ἀνθείας καὶ τῆς τύχης αὐτὴν ἠλέει».

Προκόπ. Τόμ. Α', σελ. 315,10 «δηλῶν ὅτι ἀγασθείη μὲν αὐτοὺς τῆς ἐς τῶν σφῶν βασιλέα εὐνοίας».

Λιβάν Λόγ. Τόμ. Γ', σελ. 309,10 Ῥεισκ. «νῦν δὴ καὶ πλέον ἄγαμαι τῆς γνώμης τὸν ποιητήν». Ἐν Τόμ. Δ', σελ. 801,12 κεῖται «τὴν μὲν ἀπεκτονυῖαν οὐ μικρὰ τοῦ γενναίου τοῦτο λῆμμα ἄγαμαι», ἀνθ' οὗ ὁ Κόβητος ἐν *Collect. Crit.* σελ. 302 ἀνέγνω «τὴν μὲν ἀπεκτονυῖαν οὐ μικρὰ τοῦ γενναίου τούτου λήματος ἄγαμαι».

Ῥοῦφ. Ἐφέσ. σελ. 218 Δαρ. «τοῦ μὲν σοφίσματος καὶ πάνυ ἄγαμαι τὸν ἄνδρα».

(Ἴδε καὶ τὴν τοῦ Ματθίου Διεξοδ. Ἑλλην. Γραμματικὴν σελ. 847-848 ἐκδ. γ' καὶ τὴν ὑπὸ τοῦ Βλασσίου καὶ τοῦ Γερθίου γενομένην ἔκδοσιν τῆς τοῦ Κυνήρου Διεξοδ. Γραμματικῆς τῆς Ἑλλην. Γλώσσης Τόμ. Β', α', σελ. 388 κ. ἑ.).

Παλαιὸς γραμματικὸς ἐκδεδομένος ὑπὸ τοῦ Ἑρμαννοῦ ἐν τῷ *De Emend. Rat.* etc. σελ. 409 λέγει «Ἀπὸ δὲ αἰτιατικῆς εἰς γενικὴν ταῦτα. Ἄγαμαί σε τοῦ φρονήματος καὶ θαυμάζω σε τῆς συνέσεως καὶ ἐκπλήττομαι καὶ ἐπαινῶ καὶ ἐγκωμιάζω καὶ ζηλῶ καὶ ὀλβίζω καὶ εὐδαιμονίζω καὶ φιλῶ καὶ ἀγαπῶ καὶ ἀποδέχομαι. Ὁμοίως καὶ μισῶ σε τῆς ἀναιδείας καὶ στυγῶ καὶ βδελύττομαι καὶ ἀποστρέφομαι καὶ ταλανίζω καὶ κακίζω καὶ μέμφομαι· νοεῖται γὰρ ἐν ἅπασι τούτοις τὸ ἕνεκα, οἷον ἄγαμαί σε ἕνεκα τοῦ φρονήματος. Τοιοῦτόν ἐστι καὶ τὸ

αἰτιῶμαί σε τῆς ζημίας καὶ ἐλεῶ καὶ οἰκτείρω σε τῆς ταλαιπωρίας καὶ θρηνῶ καὶ κλαίω καὶ ὀλοφύρομαί σε τῆς συμφορᾶς καὶ δακρύω σε τῆς ἀναισθησίας. Ταῦτα δὲ πάντα καὶ ἀντιστρόφως ἀπὸ γενικῆς εἰς αἰτιατικὴν συντάσσεται, οἷον ἄγαμαί σου τὸ σῶφρον καὶ θαυμάζω καὶ ἀποδέχομαί σου τὸ γενναῖον» (Ἴδε Θησ. Στεφ. Τόμ. Α', α', σελ. 180-1). Πρβ. καὶ Δοξαπατρ. Ὁμιλ. εἰς Ἀφθόν. Ῥητ. Ἑλλ. Οὐαλζ. Τόμ. Β', σελ. 246,4 «ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους ἀντὶ τοῦ ἕνεκα τοῦ κάλλους Ἀττικῶς» καὶ σελ. 276,15 «Θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης: Διχῶς τοῦτο ἑρμηνεύουσιν· οἱ μὲν γὰρ ἀντὶ τοῦ κατὰ τὴν τέχνην φασίν, οἱ δὲ ἀντὶ ἕνεκα τῆς τέχνης Ἀττικῶς, ὡς εἶναι ὅμοιον τῷ ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους» καὶ σελ. 311,14 «Καὶ πολλῶν μὲν ἄν τις ἐπαινέσαι τὸν Θέογνιν, Ἀττικῶς ἀντὶ τοῦ ἕνεκα πολλῶν· καὶ ἔστιν εἰπεῖν ὅμοιον τῷ ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους καὶ τῷ πρὸς ἃ δεῖ βλέποντας Ἰσοκράτην θαυμάζειν τῆς τέχνης».

Ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς τοῦ Εὐσταθίου σελ. 424,36 λέγεται «Τὸ δὲ τίσασθαι Ἀλέξανδρον κακότητος, ἤγουν ἕνεκεν τῆς κακίας, Ἀττικὴν ἔχει ἔλλειψιν· πλεονάζουσι δὲ οἱ μεθ' Ὅμηρον τῷ τοιούτῳ σχήματι, ὁποῖον καὶ τὸ θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης». Ἄξια μνείας εἶνε τὰ ὑπὸ τοῦ Κοβήτου γεγραμμένα ἐν τῇ Μνημοσύνῃ 1883, σελ. 90 «Herodotus in primis τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγει sibique in dicendo mirifice constat, quo certior et evidentior emendatio est ubi scribarum vitio sibi ipse dissimilis reperitur. Proferre iuvat unum exemplum, in quo consuetudo varia est. Perinde bene dicitur τίνυσθαι, τίσασθαι, ἀποτίνυσθαι, τιμωρέεσθαί τινος et τινὸς εἵνεκα (εἵνεκεν). III. 47: τίσασθαι βουλόμενοι τοῦ κρητῆρος τῆς ἁρπαγῆς. III. 127: τίσασθαι πάντων τῶν ἀδικημάτων εἵνεκεν. III. 145: καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος. IV. 4. τῶνδε εἵνεκα τίσασθαι βουλόμενος. IV. 118: τίσασθαι τῆς πρόσθε δουλοσύνης βουλόμενος. VI. 101: ἀποτινύμενος τῶν ἐν Σάρδισι κατακαυθέντων ἱρῶν. VII. 20: τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτιμωρέετο». Πρβ. καὶ Σχαιφῆρον ἐν τῇ ἐκδόσει Γρηγορίου τοῦ Κορίνθου σελ. 118.

ΠΡΟΣΘΗΚΑΙ

σελ. 273, 2. Σημειωτέον δ' ὅτι τὸ δίκην δὲ χοάνης εἶνε ἀνάγνωσις τοῦ Ῥεισκίου ἀντὶ τοῦ ἐν τοῖς ἀντιγράφοις φερομένου ἀκοὴν δὲ χοάνης (Ἴδε Βλαϋδέσιον ἐν τῇ ἐκδόσει τῶν Θεσμοφοριαζουσῶν σελ. 4. Πρβ. καὶ Ijzeren ἐν τῇ Μνημοσύνῃ 1900, σελ. 326.

σελ: 279, 12. καὶ Β', 96 «καὶ λίθος τετρημένος διτάλαντος μάλιστά κῃ σταθμόν».

σελ. 280, 12. Πρβ. καὶ σελ. 281 καὶ 1882, σελ. 300.

σελ. 280, 1 κάτ. καὶ σελ. 357 «πότερον εἰκῇ τέτρηται» καὶ «ἀλλαχόθι δὲ τέτρηται».

σελ. 280,7 (Σουΐδ. Τρητή: τετρημένη, ὀπὰς ἔχουσα).

σελ. 281, 14. Σχολ. Νικάνδρ. σελ. 63, 7 Κειλ. «παντὸς δὲ σκορπίου τὸ κέντρον τετρημένον ἐστίν».

σελ. 281, 29. Πρβ. καὶ *Mnemos*. 1875. σελ. 222.

σελ. 286, 1. Προσθετέα τὰ ἐπίθετα ἀκατάτρητος καὶ μυριότρητος. Ὁ Ε. Α. Σοφοκλῆς γράφει ἐν τῷ Λεξικῷ (Greek Lex. of the Rom. and Byz. Per.) σελ. 781 «νεότρητος, ον.=νεότρωτος. *Diosc*. I, 142, τραῦμα, *recent* wound.». Παρὰ τῷ Διοσκορίδῃ Τόμ. Α', σελ. 136. Σπρεγγ. κεῖται «[τὰ δὲ φύλλα νεότρητα κολλᾷ τραύματα]». Οὐδεμία ἀμφιβολία δύναται νὰ ὑπάρχῃ ὅτι τὸ νεότρΗτα εἶνε ἡμαρτημένη ἀνάγνωσις τοῦ νεότρΩτα. Πρβ. σελ. 603 «τοῦτο τηρεῖ ἀφλέγμαντα τὰ νεότρωτα τῶν ἑλκῶν». Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Ε', σελ. 1444.

σελ. 287, 7. Μνημονεύονται δὲ ὑπὸ τοῦ Κουμανούδη ἐν τῇ Συναγωγῇ Νέων Λέξεων καὶ τάδε τὰ ἐπίθετα δωδεκάτρητος (σελ. 315) κατάτρητος (σελ. 531), νεφότρητος (σελ. 696), σφαιρότρητος (σελ. 971), χιλιότρητος (σελ. 1110). Πρβ. καὶ διατρητήρ, διατρητήριος, διατρητικός (σελ. 285) καὶ πυρηνοτρήτης (σελ. 874).

σελ. 298, 7 κάτ. Πρβ. ἀνδρίον, ἀρνίον, ἀσκίον, βιβλίον, βολβίον, γαστρίον, δελτίον, δενδρίον, θαμνίον, ἰγδίον, κορ-

μίον, κυμβίον (οὐχὶ κύμβιον), μοσχίον, μυστρίον, πλινθίον, ῥαβδίον, σαρκίον, σκυμνίον, σπαρτίον, σταμνίον, τεκνίον, τιτθίον, τυμβίον, φορτίον, χαρτίον, κισσίον, κοκκίον, μαλλίον, μαμμίον, ψαμμίον, ῥιζίον, πυξίον. Ἀκριβῶς περὶ τῶν τοιούτων θὰ διαλάβωμεν ἐν ἑτέρῳ τόπῳ.

σελ. 299,19: καὶ 31 «ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν».

σελ. 299, 29. Σημειωτέον δ' ὅτι τὸ ἱστός σημαίνει οὐ μόνον τὸ ὄργανον, δι' οὗ ὑφαίνει τις, ἀλλὰ καὶ αὐτὸ τὸ ὑφαινόμενον, οἷον Ἰλ. Γ, 125 «ἡ δὲ μέγαν ἱστὸν ὕφαινεν, δίπλακα πορφυρέην», κτλ. Πρβ. Πλάτ. Φαίδ. σελ. 84, Α' «Πηνελόπης τινὰ ἐναντίως ἱστὸν μεταχειριζομένην». Ὡς δ' εὐκόλως νοεῖ τις τί σημαίνει τὸ ἱστοδόκη, οὕτω καὶ τί δηλοῖ τὸ ἱστοπόνος - ἱστοπονῶ - ἱστοπονία. Πρβλ. καὶ Ἀθηνᾶν 1889, σελ. 428.

σελ. 300, 9. Παρατηρητέον δ' ὅτι ὑπὸ μὲν τοῦ Ἡροδότου εἶνε εἰρημένον Β', 96» λίθος τετρημένος διτάλαντος μάλιστά κῃ σταθμόν» (πρβ. καὶ Α', 50), ὑπὸ δὲ τοῦ Λουκιανοῦ Νεκρ. Διαλ. Ι, 3 «Χαρμόλεως ὁ Μεγαρικὸς ὁ ἐπέραστος, οὗ τὸ φίλημα διτάλαντον ἦν».

σελ. 311, 16. Ἀδιστάκτως ἡμεῖς εἴμεθα πεπεισμένοι ὅτι ὁ τύπος ἰᾶν εἶνε τοῦ πονηροῦ κόμματος. Ὁ Ἑρουερδὴν γράφει ἐν *Lex. Graec. Suppl. et Dialect.* σελ. 379 «ἰάειν = ἰᾶσθαι. Inscr. trozenia ineuntis saec. a. C. IVti apud Michel 841: Εὐθυμίδας ἀνέθεκε hά κα ποῖον ποὶ τὸν θεὸν ἰοίει (= ἰῴη) λουσάμενος δαῆναι χρείζον. Θυσάμενον hΗρακλεῖ λαιὸς ἰδόντα ἐπὶ λαιὰ οἰονόν» Ἀλλ' ἄλλως ἐκδέχεται τὸ περὶ οὗ ὁ λόγος ῥῆμα ὁ Διττεμβεργῆρος ἐν *Syllog. Inscr. Graec.* Τόμ. Β', σελ. 644 ἐκδ. β' λέγων . . Ab hoc δαῆναι χρῄζων pendet enuntiatum oblique interrogativum ἅ κα ποιῶν — ἰοίῃ = Euthymidas dedicavit cum cuperet comperire, quid ad deum **accedens** facere debere».

σελ. 322, 17. Περὶ τοῦ προτερίζω ἴδε Θησ. Στεφ. Τόμ. ϛ', σ. 2062. Μνημονεύεται δ' ἐν τῷ Θησαυρῷ τούτῳ καὶ βάρβαρος τύπος πρωτερεύω (σελ. 2137, Δ').

σελ. 331,17. Μνημονεύεται δὲ καὶ ῥῆμα κατασμικρόω-ῶ ὑπὸ τοῦ Κουμανούδη ἐν τῇ Συναγωγῇ Ἀθησαυ. Λέξεων σελ. 181 «κατασμικρόω, ῶ. ΑΝΔΡΟΝ. ΚΑΛΛΙΣΤ. ἐν Μι. Pa. gr. r. 160, σ. 1140». Πρβλ. καὶ Θησ. Στεφ. λ. ἀποσμικρόω Τόμ. Α', β', σελ.

1676. Σημειωτέον δ' ὅτι παρὰ τῷ Ὁμήρῳ καὶ ἄλλοις ποιηταῖς φέρεται ῥῆμα μινύθω, ὅπερ ἐπὶ μεταβατικῆς καὶ ἀμεταβάτου διαθέσεως τιθέμενον ἰσοδυναμεῖ ἄλλοτε μὲν τῷ σμικρύνω ἢ ἐλαττῶ, ἄλλοτε δὲ τῷ σμικρύνομαι ἢ ἐλαττοῦμαι. Ὁ Εὐστάθιος γράφει ἐν ταῖς εἰς Ὅμηρον Παρεκβολαῖς σελ. 106,36. «Προϋπάρχει δὲ ἀμφοῖν τὸ μινυόν — ἐξ οὗ καὶ μινύθω τὸ ἐλαττῶ καὶ σμικρύνω». Ὑπὸ δὲ τοῦ Ἡσυχίου λέγεται «Μινύθειν: ἐλαττοῦσθαι» καὶ «Μινύθει: ἐλαττοῦται, μειοῦται» καὶ «Μινύθουσιν: φθείρουσιν, ἐλαττοῦσι, μειοῦσιν, ἀφανίζουσιν». Ἀπαντᾷ δὲ τὸ περὶ οὗ ὁ λόγος ῥῆμα καὶ ἐν τοῖς Ἱπποκρατείοις. Ἴδε Φοέσιον ἐν Οἰκονομ. Ἱπποκρ. σελ. 251.

σελ. 340, 22. Εἴπομεν ἐν τοῖς ἄνω σελ. 335 ὅτι τῷ Ἰωνικῷ ῥήματι ἑσσοῦσθαι ἰσοδυναμεῖ τὸ τοῖς Ἀττικοῖς σύνηθες ὂν ἡσσ(ττ)ᾶσθαι. Φέρεται δ' ἐν τῇ Ἑλληνικῇ γλώσσῃ καὶ ὄνομα ἧσσ(ττ)α, ὅπερ εἶνε πάθους δηλωτικὸν ἀντικείμενον τῷ νίκῃ. Ἄξιον μνείας νομίζομεν τὸ ὑπὸ τοῦ Πλάτωνος εἰρημένον Νόμ. σελ. 648, Ε' «τὴν πάντων ἧτταν φοβούμενος ἀνθρώπων τοῦ πώματος» (Ἴδε Σωκρ. 1874, σελ. 426. Πρβ. καὶ σελ. 428). Παρασημειωτέον δ' ὅτι ἀντὶ τοῦ ἀνθρώπων ἀνεγνώσθη ὑπὸ τοῦ Βαδάμου ἄνθρωπος ὤν. Ἴδε Σχάνζιον ἐν τῇ ἐκδόσει τοῦ Πλάτωνος Τόμ. ΙΒ', σελ. 32. Ὁ Λοβέκκιος γράφει ἐν τῷ Ῥηματικῷ σελ. 172 «Alia in diversis dialectis domicilium habent: ἰνᾶν et ἰνεῖν, ἡσσᾶσθαι et ἑσσοῦσθαι, ἀντιᾶν ἀντιᾶσθαι et ἀντιοῦσθαι, quae ionica sunt, doricum vero κοινᾶσαι v. Ahrens Dor. p. 182. Horum omnium in utraque conjugatione eadem est potestas etsi nonnulla a diversis partibus orta sunt, ἡσσᾶσθαι ab ἧσσα, ἑσσοῦσθαι ab ἔσσων ut ἐλαττοῦν, μειοῦν, caetera supra allata». Παλαιὸς γραμματικὸς ἐκδεδομένος ὑπὸ τοῦ Γ. Ἑρμαννοῦ ἐν τῷ *De Emendand. Rat.* etc. νομίζει τὸ ὄνομα ἧσσα παράγωγον τοῦ ῥήματος ἡσσῶ σελ. 425 « Ἁπλῶς ὅσα ἀπὸ ῥήματος γίνονται βραχὺ ἔχουσι τὸ Α καὶ προπερισπῶνται, εἰ μακρᾷ παραλήγονται, οἷόν ἐστι καὶ τὸ Μοῦσα ἐκ τοῦ μῶ γὰρ τὸ ζητῶ — καὶ ἧσσα ἐκ τοῦ ἡσσῶ — καὶ πεῖνα ἐκ τοῦ πεινῶ» (Πρβ. Λοβέκκιον ἐν Ῥηματ. σελ. 271. Ἴδε καὶ Χατζιδάκιν ἐν τῇ Ἀθηνᾷ 1899, σελ. 383 καὶ ἐν τοῖς Ἀκαδ. Ἀναγνώσμασι Τόμ. Β', σελ. 22).

σελ. 342,13. Ἄξια ἀναγνώσεως εἶνε ἃ ἔγραψεν ὁ Ναβῆρος ἐν τῇ Μνημοσύνῃ 1900, σελ. 333-334. Παρατηρητέον δ' ὅτι παρὰ τῷ

Πλάτωνι Πολιτ. σελ. 373 Α΄ φέρεται «ἀλλὰ κλῖναί τε προσέσονται καὶ τράπεζαι καὶ τἆλλα σκεύη, καὶ ὄψα δὴ καὶ μύρα καὶ θυμιάματα καὶ ἑταῖραι καὶ πέμματα, ἕκαστα τούτων παντοδαπά» (Σχολ. «πέμματα: πλακούντια»). Ὁ Νάβηρος ἐποιήσατο ἐν ᾧ ἀρτίως ἐδηλώσαμεν τόπῳ τὴν παρατήρησιν τήνδε· «De hoc loco quaesivit Nitzschius in *Museo Rhenano* XII. p. 472 et recte demonstravit meretriculas hic non debuisse memorari, sed quod reposuit ἀθῆραι, est ea infelix suspicio. Verum erui debet ex Rep. 455 C: τὴν τῶν ποπάνων τε καὶ ἑψημάτων θεραπείαν, ubi Scholiasta: ποπάνων: πλακουντίων πλατέων καὶ λεπτῶν καὶ περιφερῶν· ἕψημα δ' ἐστὶν ὃ ἔνιοι ἔραιον καλοῦσιν, sed emendandum est σίραιον. Vere hoc traditur. etc». Ἀπεφήνατο δὲ «Itidem apud Platonem pro ΕΤΑΙΡΑΙ legendum ΣΙΡΑΙΑ et vides corruptelae causam». Παρατιθέμεθα καὶ τὰ ὑπὸ τοῦ Μαδβιγίου γεγραμμένα ἐν *Adversar. Crit.* Τόμ. Α΄, σελ. 75 «Nam in hac enumeratione rerum ad victum tantum pertinentium: καὶ ὄψα δὴ καὶ μύρα καὶ θυμιάματα καὶ ἑταῖραι καὶ πέμματα nihil loci esse ἑταίραις consentiunt Nitschius, Stallbaumius, alii; sed neque pervagatum vocabulum ἕτερα subest, quod frustra Stallbaumius commendat (nam neque, quod in ἄλλος fit, transferri ad ἕτερος potest neque Graecus homo dicturus erat θυμιάματα καὶ ἄλλα πέμματα), neque quod Nitschius voluit, sed nomen rei cum πέμμασι coniunctae et tale, quod similitudine aliqua litterarum ἑταίρας illas obiiceret, ἐσχαρῖται, hoc est, panes delicati» Ἡμεῖς πρὸ πολλῶν ἐτῶν ἀναγινώσκοντες τὴν Πολιτείαν τοῦ Πλάτωνος εἰκάσαμεν ὅτι ἐλέχθη ὑπὸ τοῦ φιλοσόφου «καὶ ὄψα δὴ καὶ μύρα καὶ θυμιάματα καὶ **ἴτρια** [καὶ πέμματα], ἕκαστα τούτων παντοδαπά» καὶ ὅτι τὸ σχόλιον εἶχε κατ' ἀρχὰς ὧδε· «(ἴτρια:) πέμματα, πλακούντια». Πρβ. Ἀριστοφ. Ἀχαρν. 1092 «ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἴτρια». Ἐν τοῖς Δειπνοσοφισταῖς τοῦ Ἀθηναίου λέγεται σελ. 645, ϛ΄ «Γοῦρος ὅτι πλακοῦντος εἶδος ὁ Σόλων ἐν τοῖς Ἰάμβοις φησίν·

πίνουσι καὶ τρώγουσιν οἱ μὲν ἴτρια,
οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμειγμένους
γούρους φακοῖσι κτέ.».

καὶ σελ. 646, Δ' «Ἴτριον πεμμάτιον λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον. Μνημονεύει αὐτοῦ Ἀνακρέων οὕτως·

ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον.

Ἀριστοφάνης Ἀχαρνεῦσιν·

πλακοῦντες. σησαμοῦντες, ἴτρια.

Σοφοκλῆς Ἔριδι·

ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω».

καὶ σελ 648, Ϛ' (ἐν τοῖς ἐκ τοῦ Κλεάρχου) «ἄμης, πλακοῦς, ἔντιλτος, ἴτριον, ῥόα». Πρβ. σελ. 640, Ϛ' καὶ σελ. 642, Ε' καὶ Ἐτυμολ. Μέγ. σελ. 94,55 (Ἴδε Πιερσῶνα εἰς Μοῖρ. σελ. 203. Πρβ. καὶ Κώχιον ἐν τῇ ἐκδόσει τοῦ Μοίριδος σελ. ϞΑ'). Ἐγένετο δὲ χρῆσις τοῦ περὶ οὗ ὁ λόγος ὀνόματος καὶ ὑπὸ τοῦ Ἀρεταίου σελ. 249 καὶ σελ. 259 καὶ σελ. 261 Ἑρμ. καὶ ὑπὸ Ῥούφου τοῦ Ἐφεσίου σελ. 16,10 Δαρ. καὶ ὑπὸ τοῦ Διεύχους καὶ ὑπὸ τοῦ Ἀντύλλου παρ' Ὀρειβασ. Τόμ. Α', σελ. 292 καὶ σελ. 303 καὶ ὑπ' Ἀλεξάνδρου τοῦ Τραλλιανοῦ Τόμ. Α', σελ. 365 καὶ Τόμ. Β', σελ. 209 καὶ σελ. 217 καὶ σελ. 219 καὶ σελ. 383 καὶ σελ. 473 Πουσχ· καὶ ὑπὸ τοῦ Ζηνοβίου (Παροιμιογρ. Ἑλλ. Τόμ. Α', σελ. 149 Γοττ.) Πρβ. καὶ Ἡσύχ. λ. ἐρεικὰς «λέγουσι δὲ οὕτω καὶ τὰ ἴτρια, τὰ ὑπό τινων λάγανα» καὶ Πολυδεύκ. Ϛ', 78. Ὁ Λοβέκκιος γράφει ἐν τῷ Ἀγλαοφάμῳ σελ. 1061 «Galenus de Semin. I. 4. 190. T. III. (T. IV. 526 Kuehn.) ὥσπερ ὅσα δημιουργοῦσιν οἱ σιτοποιοὶ ἐπαλείφοντες ὑγρὸν ἀτρέμα σταῖς ὀνομάζεται δὲ ἴτριά τε καὶ ῥύμματα τὰ τοιαῦτα πάντα πλατύσματά τε καὶ πέμματα· pro ῥύμματα scribendum θρύμματα, unde θρυμματίς». Μεγάλως ἡμεῖς θαυμάζομεν πῶς ὁ Λοβέκκιος, ἀνὴρ λογιώτατος, δὲν ἐνόησεν ὅτι τὸ ἐν τῇ ῥήσει τοῦ Γαληνοῦ ἁπαντῶν ῥύμματα εἶνε ἡμαρτημένη ἀνάγνωσις τοῦ ῥυήματα. Πρβ. Γαλην. Τόμ. Ϛ', σελ. 492 «διττὸν δὲ τῶν ἰτρίων τὸ εἶδος, ἄμεινον μὲν ὃ καλοῦσι ῥυήματα, φαυλότερα δὲ τὰ λάγανα» καὶ σελ. 687 «λάγανά τε καὶ ῥυήματα» καὶ σελ. 768 «ἢ λαγάνων τι καὶ ῥυημάτων προσλαμβάνων» καὶ «ὀνομάζειν δέ μοι δοκοῦσι ταυτὶ τὰ νῦν ὑφ' ἡμῶν καλούμενα λάγανά τε καὶ ῥυήματα κοινῇ προσηγορίᾳ τῇ τῶν ἰτρίων οἱ παλαιοί». Ἡ ἐν τῷ χωρίῳ τοῦ Γαληνοῦ ἐσφαλμένη γραφὴ ῥύμματα ἐπηνωρθώθη ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου λ. ῥύ-

ημα (Τόμ. ς', σελ. 2431). Οὐ μόνον δὲ παρὰ τῷ Γαληνῷ εἶνε πλημμελῶς γεγραμμένον ῥύμματα ἀντὶ τοῦ ῥυήματα ἀλλὰ καὶ παρὰ τῷ Ὀρειβασίῳ Τόμ. Α', σελ 20 Δαρ. Ἐν Συλλογῇ Νεοφύτου μοναχοῦ κατακεχωρισμένῃ ἐν τῷ *Eran. Act. Phil. Suec.* 1903-1904 εἶνε κακῶς γεγραμμένον σελ 138 Ἰτρία καὶ ῥύμματα: τὰ πέμματα· ἔστι δὲ εἶδος πλακουντίων» καὶ σελ. 145 «Ῥύμμα: τὸ ἰτρίον». Ἀξιόλογον παρατήρησιν περὶ τοῦ ἴτριον-ἴτρια ἔγραψεν ὁ Δαρεμβέργης ἐν τῇ ἐκδόσει τοῦ Ὀρειβασίου Τόμ. Α', σελ. 562.

Νομίζομεν δ' ὅτι οὐδεὶς θὰ ὑπερμαχήσῃ τῆς ἐν τῇ Πολιτείᾳ τοῦ Πλάτωνος παραδεδομένης γραφῆς «ἀλλὰ κλῖναί τε προσέσονται καὶ τράπεζαι καὶ τἆλλα σκεύη, καὶ ὄψα δὴ καὶ μύρα καὶ θυμιάματα καὶ **ἑταῖραι** καὶ πέμματα, ἕκαστα τούτων παντοδαπά» ὁρμώμενος ἐκ τοῦ εἰρημένου ὑπὸ τοῦ Κωμικοῦ ἐν τοῖς Ἀχαρνεῦσι στ. 1090 «κλῖναι, τράπεζαι, προσκεφάλαια, στρώματα, στέφανοι, μύρον, τραγήμαθ', αἱ **πόρναι** πάρα, ἄμυλοι, πλακοῦντες, σησαμοῦντες, ἴτρια, ὀρχηστρίδες κτέ.».

σελ. 342, 2 κάτ. Πρβ. Ἀθηνᾶν 1897, σελ. 95.

σελ. 357, 15. Φέρονται δ' ἐν τῇ Συναγωγῇ ταύτῃ καὶ τάδε: δεσμωτηριακός, διαπυλιακός, κοραλλιακός, νομοσχεδιακός, τεκμηριακός. Ἄξιον παρατηρήσεως εἶνε ὅτι τὸ ἐκ τοῦ κρανίον παρηγμένον ἐπίθετον κρανιακός ἐμνημονεύθη μὲν ὑπὸ τοῦ Κουμανούδη ἐν τῇ Συναγωγῇ Ἀθησ. Λέξεων σελ. 196 «κρανιακὴ φλέψ. ΛΕΩΝ. ΦΙΛΟΣ. ἐν Bois. An. nov. σελ 368», κατεχωρίσθη δὲ καὶ ἐν τῇ Συναγωγῇ Νέων Λέξεων σελ. 570 «κρανιακός, 3. Χρ. Παπαδόπ. 90».

σελ. 361,8. Παρατηρητέον δ' ὅτι ἀντὶ τοῦ τόνδε νέον ἀνεγνώσθη ὑπὸ μὲν τοῦ Ῥεισκίου τόνδ' ἐνεόν, ὑπὸ δὲ τοῦ Οὐϊλαμοβιτζίου τὸν θεῖον ὑπὸ δὲ τοῦ Ἀδ Οὐϊλχέλμου τὸν νέννον (Ἴδε Περιοδ. Σύγγρ. Ἑρμῆν 1900, σελ. 670).

σελ. 393, 5 κάτ. καὶ παρὰ τῷ Ψευδαλκιδάμαντι Ὀδυσσ. 21 (σελ. 190 Βλασσ.) «ὃς ἐπὶ τοῖς φίλοις τα αἴσχιστα μηχανώμενος πέφανται».

σελ. 395, 20 Δαμάσκ Ἀπορ. καὶ Λύσ. Τόμ. Α', σελ. 84, 5 Ῥυελλ. «ἐπεὶ τοιοῦτον ἐκεῖνο ἀποπέφανται».

σελ. 397,23. Ὁ Ἑρουερδὴν ἀποφαίνεται ἐν τῇ Μνημοσύνῃ 1895,

σελ. 333 ὅτι ἐγράφη ὑπὸ τοῦ Ἡσυχίου «Ἀντιπεφάσθαι: ΑΝΤΙτεθνάναι, ΑΝΤαναιρεῖσθαι».

σελ. 427,21 «ὁ Κρυγῆρος γράφει ἐν τῇ Ἑλληνικῇ Γραμματικῇ Τόμ. Α΄, α΄, σελ. 115 (1848) «Auch vor τ bleibt das ν in der 3 P. Si. Pf. und Ppf πέφανται, ὤξυνται» καὶ «Von den nach. R. 3,2 das ν verlierenden Verben ist diese Form auf νται die dritte Person der Plurals κέκλινται Xen. Reitt. 5, 2, κέκρινται Dem. 22, 66, 24, 173». Ὡς λέγεται κέχρι-μαι: κέχρι-νται καὶ λέλυ-μαι: λέλυ-νται καὶ ἐλήλα-μαι: ἐλήλα-νται, οὕτω καὶ κέκρι-μαι: κέκρι-νται καὶ κέκλι-μαι: κέκλι-νται καὶ πέπλυ-μαι: πέπλυ-νται καὶ τέτα-μαι: τέτα-νται. Πρβλ. καὶ πέφα-ται: πέφα-νται.

σελ 459,13. Ὁ Βέργκιος γράφει ἐν *Kleine Phil Schrif* Τόμ. Β΄. σ. 67 «Omnino in verborum flexionibus peculiaria multa habet Parmenides, velut v. 13 [8]:

Αὐταὶ δ' αἰθέριαι πλῆνται μεγάλοισι θυρέτροις

novavit hoc, ut opinor, poeta, sed praeter rationem: cum πλῆτο esset in usu, quae est aoristi forma, ille plusquamperfectum geminatione viduatum esse ratus ad eundem modum etiam πλῆνται pro πέπληνται dicere ausus est. Geminationem etiam abiecit v. 126 [733 St. cf. Opusc. 54]:

Αἱ γὰρ στεινότεραι ποίηντο πυρὸς ἀκρίτοιο,

sed nescio an potius scribendum sit:

Αἱ γὰρ στεινότεραι πλῆνται πυρὸς ἀκρήτοιο,

ut πλῆνται quamvis ab alia stirpe descedens ad eundem modum pro πέπληνται sit dictum». Σφόδρ' ἡμεῖς ὀκνοῦμεν νὰ συμφωνήσωμεν τῷ ἐνδόξῳ κριτικῷ.

σελ. 468,14. Παρήχθη δὲ καὶ ὄνομα νεῦσις ἐκ τοῦ νεύω καὶ ἕτερον νεῦσις ἐκ τοῦ νέω.

σελ. 469,16. Ἀναγκαίως δ' ἔχει νὰ παρατηρηθῇ ὅτι ὁ ἀόριστος ἔνευσα ἔν τε τῷ παλαιῷ καὶ τῷ μεταγενεστέρῳ ἑλληνισμῷ εὑρίσκεται σύνθετος, οἷον διένευσα, ἐξένευσα, προσένευσα.

Πλάτ. Παρμεν. σελ. 137, Α΄ «κἀγώ μοι δοκῶ μεμνημένος μάλα φοβεῖσθαι πῶς χρὴ τηλικόνδ' ὄντα διανεῦσαι τοιοῦτόν τι καὶ τοσοῦτον πλῆθος λόγων» (Πρβ. Ῥουγκένιον εἰς Τίμ. Σοφ. σελ. 79).

Σουίδ. σελ. 282 Βεκκ. «Διανεῦσαι: διακολυμβῆσαι· διανεῦσαι ἐθελήσαντες ἐβαπτίζοντο ὑπὸ τῆς πανοπλίας» (Ἴδε καὶ Θησ. Στεφ. Τόμ. Β΄, σελ. 1249).

1 χαλκιδῆς σαῦρας B. πληγείσῃ Ph. 3 δὲ καὶ τούτους τοῖς — — μυγαλῆς Ph. 4 μυγαλῆς Ph. ξ. δ. B. 7 μυγαλὴ Ph. χρόαν Ph. γάλῃ V. 8 μυὴ Ph. τὸ μυγάλης ὄνομα B. 9 λεπτῇ οὐρᾷ κέχρηται VWPh. ὀδόντοις δε VW. λεπτοὺς ἔχει Ph. «καὶ τούτους ἐν διστοιχίᾳ ὄντας· καθ' ἑκατέραν γενύωσιν τετραστοιχίαν ὀδόντων» παράλ. Ph. 10 γένυν, ὡς εἶναι τετραστοιχίαν V. ἄνευ «ὥστε» AP. ἄνευ «ἔχειν» AP. 11 ἄνευ «τοῖς οὖν» Ph. ὑπ' αὐτοῦ AP. ἐπ' αὐτοῦ B. ὑπ' αὐτοῖς δειχθῆσιν VW. αἱ τρώσεις VWPh. 12 τρώσεις ὁραθήσονται VWPh. αἷμα δὲ B. ἄνευ «δὲ» ABVW. 14 φλύχτεναι V. φλυχτένες W. φλεχτένες Ph. καὶ ἤ τις Ph. 15 κατερρωγεῖαν B. 16 ἐμπνευματώσεις Ph. ἄνευ «περὶ» Ph. 17 ὄρχις Ph. ἐπιπηδᾶ καὶ τούτους πλήττει οὐ μόνον VW. παντὸς ἀλόγου ζώου V. ζῴου B. 18 δὲ οὗτει Ph. κινδυνώδεσιν W. 19 δάφνης ⟨α ἢ καὶ δύο τῶν ἁπαλῶν Ph. 20 ἢ καὶ B. ἄνευ «καὶ» V. 21 προρηθέντα Ph. 22 ἐπεὶ δὲ τῶν VW. ἐπειδὴ δὲ B. 23 ῥησὶν Ph. ῥῖσιν B. «ταῖς ῥισίν· εἰ δὲ δυνατὸν αὐτὴν τὴν δάκνουσαν μυγάλην λειώσας μεθ' ὕδατος ἔγχει» παραλ. V. μυγαλὴν Ph. λειώσας B.

ὕδατος, ἔγχει τοῖς μυκτῆρσιν· ἔστι γὰρ ἀντιφάρμακον ἑαυτῆς· ὅθεν καὶ τοὺς ἀνεχομένους ἀνθρώπους ποτιστέον ὁμοίως. Κατάπλαττε δὲ τὸ δῆγμα κυμίνῳ, σκορόδῳ σὺν τοῖς ἔξω λεπύροις ἐπίσης· καὶ λειώσας μετ' ἐλαίου, συνάλειφε τοὺς κύκλῳ τόπους. Ἐὰν δὲ ῥαγῶσιν αἱ φλυκτίδες καὶ ἕλκος γένηται, ὀξάλμῃ κατάντλει· καὶ κριθὰς κατακαύσας καὶ λεάνας κατάπλασσε· οὐκ ἐκραγήσεται δὲ, ἐὰν μὴ κύουσα δάκῃ μυγάλη. Ἐὰν δὲ ἑλκωθῇ, σίδια γλυκείας ῥοιᾶς ἑφθὰ λεῖα ἐπιτίθει, καὶ τὰ ἕλκη κατάντλει τῷ αὐτῷ ἀφεψήματι ἢ μᾶλλον μυρσίνης.

Πρὸς Σκολοπένδρου πληγάς.
κεφ. ιζ'.

Καὶ τοῖς ὑπὸ σκολοπένδρου πληγεῖσι, τὰ αὐτὰ βοηθήματά ἐστι, τὰ ἐπὶ τῆς μυγάλης προειρημένα· καὶ ἅλες μετὰ ὑγρᾶς πίσσης ἐπιτιθέμενοι, καὶ κεδρία μετὰ μέλιτος, καὶ σκόροδον μετὰ συκῆς φύλλων καὶ κυμίνου καὶ οὔρων καὶ οἴνου· ὡσαύτως καὶ ποτὰ τὰ ἐπὶ τῆς μυγάλης ῥηθέντα, καὶ ἀψίνθιον δὲ καὶ ἡδύοσμον μετ' οἴνου.

Πρὸς ἀράχνης δῆγμα.
κεφ. ιη.

Ἔστι δὲ καὶ ἀραχνῶν γένος, ὃ πλῆττον συντόνους πόνους ἐπιφέρει περὶ τὸ ὑποχόνδριον, ἐξ οὗ ἐρύθημα καὶ δυσουρία παρακολουθεῖ· ἐνίοτε δὲ καὶ πνιγμός. Πότιζε οὖν τοὺς τοιούτους ἄγριον κύμινον,

1 ἄνευ «τοῖς» APBVW. ἀντιφάρμακον αὐτοῖς V. 2 ὁμοιῶς B. 3 δίγμα Ph. κυμίνῳ ἐπιμελῶς τοὺς κύκλῳ τόπους VW. ἄνευ «καὶ» Ph. λεπήροις Ph. ἐπ' ἴσης B. 4 σὺν ἐλαίῳ B. τοὺς ἔξω τόπους τοὺς κύκλῳ - - ῥαγόσιν Ph. 5 φλυκταίναι καὶ ἕλκη V. φλυκτένες PhW. γήνεται Ph. ἐξ ἅλμη W. 6 οὐ ῥαγήσεται - - εἰ μὴ (ξ. διόρθ. «οὐκ ἐρραγήσεται») B. οὐ κεκραγήσεται δὲ V. 7 μυγαλὴ Ph ἐφθὰ AP. 7-8 ἐπιτήθει . . . ἕλκοι Ph. 8 τὸ αὐτὸν Ph. 9 σκολοπένδρων B. σκολοπένδρου AP. σκολοπένδρας PhVW. πληγὴν Ph. 11 σκολοπενδρῶν B. πληγήσει Ph. ἐστὶν ἁρμόδια, τὰ ἐπὶ V. ἐστίν B 12 μυγαλῆς B. Ph. 12-13 πήσσης ἐπιτηθέμενοι Ph. 13 ἄνευ «μετὰ» A.Ph. σὺν μέλιτι Ph. 14 «καὶ ὀρόβων» ἀντὶ «οὔρων» B. ἄνευ «ὡσαύτως» VWPh. ἄνευ «καὶ» VW. ποτὰ δὲ τὰ PhVW. ὑπὸ τῆς V. 15 μυγαλῆς AP. 18 ἀρράχνη VW. ἀράχνων — — πλήττων Ph. ὁ πλήξας VW. ἄνευ «πόνους» Ph. 19 ἄνευ «ἐξ οὗ» VW. ἐρύθημά τε Ph. παρακολουθη — — πότιζε δὲ τούτους Ph. 20 πότιζε δὲ V.

ἄγνου λευκῆς σπέρμα ἢ τὰ φύλλα· δίδου δὲ ἐσθίειν καὶ σκόροδα πλείονα, καὶ οἶνον ἐπιρροφεῖν ἄκρατον.

Περὶ Τετραγνάθων.
κεφ. ιθ΄.

Ὁ Τετράγναθος καλούμενος, εἶδος ἐστὶ φαλαγγίου, ὑπόπλατυς, ὑπόλευκος, πόδας ἔχων τραχεῖς, κατὰ δὲ τὴν κεφαλὴν δύο ἐπιφύσεις, μίαν εὐθεῖαν καὶ μίαν πλατεῖαν, ὡς στοχάζεσθαι. στόματα μὲν ἔχει δύο, γνάθους δὲ δ. καὶ γραμμὴν ὁμοίαν ἔχει κατὰ τὸ στόμα. Τοῖς δὲ ὑπὸ τούτου πληγεῖσι, κοινῶς μὲν παρακολουθεῖ τὰ ἐπὶ τῶν σκορπίων, ἰδίως δὲ ἐπ' αὐτῶν ἀλγεῖ ἡ πληγὴ συντόνως, καὶ ὑπολευκανθίζει ὁ πεπληγὼς τόπος· οἴδημα δὲ γίνεται περὶ τὸ πρόσωπον καὶ τὴν κεφαλήν· καὶ ἰσχναίνεται τὰ πληγέντα μέλη μέχρι τῶν ἄρθρων· ἀτροφοῦσί τε οἱ κάμνοντες, καὶ μετὰ τὴν ὑγείαν, ἀγρυπνία τούτοις ἐπιτεταμένη ἐπιγίνεται. Βοηθοῦνται δὲ ποτιζόμενοι καλαμίνθῃ ἢ τοῖς φύλλοις τοῦ πηγάνου, πάνακί τε καὶ πολίῳ καταπλασσόμενοι, καὶ τοῖς ῥηθησομένοις ἐπὶ φαλαγγιοδήκτων.

Περὶ Φαλαγγιοδήκτων.
κεφ. κ΄.

Τῶν δὲ φαλαγγίων γένη μὲν πλείονα, ἃ δὲ κατὰ τὸ πλεῖστον ἱστόρηται τοῖς τὰ θηριακὰ γράψασιν, εἰσὶν ἓξ τὸν ἀριθμόν· τὸ μὲν γὰρ αὐτῶν καλεῖται ῥάγιον· τὸ δὲ μυρμήκιον, τὸ δὲ λύκος· τὸ δὲ κρονολόπτης [κρανοκαλόπτης], τὸ δὲ σκληροκέφαλος, τὸ δὲ σκωλήκιον.

1 ἐσθείειν Ph. ἄνευ «καὶ» WPh. 2 ἐπιρρόφειν B. 5 τετραγνάθος B. ὑποπλατοῦς, ὑπολευκόν, πόδας ἔχον B. 6 ἔχει V. ἔχειν AH. τραχὺς — — τῆς κεφαλῆς 7 Ph. εὐθεῖαν B. ἐπὶ φύσις —— εὐθίαν Ph. 8 ἔχει B. ἔχειν AH. στῶμα Ph. 9 πληγήσει, κηνοὶ μὲν Ph. 10 ἰδείως δὲ ἀλγὴ Ph. ἀλγῆ B. ἄνευ «ἡ» A. ὑπολευκανθίζειν ὁ πεπληγὸς τόπως Ph. 11 παρὰ τὸ W. 12 ἰσχνένεται Ph. μέρη μέχρι V. ἀτροφοῦσι δὲ τὰ μέλη καὶ μετὰ τὴν ὑγίαν· ἀγρυπνία δὲ Ph. 14 ἐπιγήνεται Ph. καλαμίνθιν Ph. ἢ τριφύλλῳ, πηγάνω V. 15 πανακὶ τε B. ἄνευ «τὲ καὶ» Ph. ἄνευ «καταπλασσόμενοι» VWPh. 19 φαλαγγείων — — ἃ δὲ Ph. ἱστροῆται (ξ. διόρθ. «ἱστροεῖται») B. ἡστόρηται Ph. 20 ἔστιν ἓξ τῶν ἀριθμῶν Ph. 21 αὐτὸν Ph. ἄνευ «καλεῖται» V. χρονολώπτης PhW. 22 κρανοκαλόπτης B. (ξ. δ.) W. χρονοκολάπει V. σκληρωκέφαλος Ph. σκολίκιον Ph.

Τὸ μὲν γὰρ **ῥάγιον** σχήματι μὲν στρογγύλον, χρώματι δὲ μέλαν· παρομοιότερον δὲ σταφυλῆς μελαίνης ῥαγί, διὸ καὶ προσηγόρευται ῥάγιον. πόδας δὲ ἔχει στ. ἐξ ἑκατέρου μέρους μικροτάτους, καὶ τὸ στόμα ὑπὸ τὴν κοιλίαν. Ὁ δὲ λεγόμενος **λύκος**, ἐν τοῖς ἀραχνίοις διατρίβων εὑρίσκεται, ἐπιλαμβανόμενος τῶν μυῶν καὶ ἐσθίων αὐτάς. στόμα δὲ ἔχει πλατὺ καὶ περιφερές, καὶ τὰ κατὰ τὸν αὐχένα αὐτοῦ μέρη ἐγκεχάρακται. ἐπὶ δὲ τοῦ στόματος ἔχει ἐπιφύσεις τρεῖς. Τὸ δὲ **μυρμήκιον** λεγόμενον, ὡμοίωται μύρμηκι μεγίστῳ, αἰθαλῶδες κατὰ τὴν χρόαν· ἐντετύπωται δέ τινα τῷ σώματι αὐτοῦ οἱονεὶ ἄστρα, μᾶλλον δὲ κατὰ τὰ νῶτα. Τὸ δὲ δ. καλούμενον **κρονολόπτης** [κρανοκαλόπτης.] ὑπόμηκές ἐστι καὶ χλωρόν. τὸ κέντρον δὲ ἔχει περὶ τὸν τράχηλον. τοῦτο δὲ προσπίπτον, τοὺς κατὰ τὴν κεφαλὴν πλήσσει τόπους. Τὸ δὲ ε. **σκληροκέφαλον** λεγόμενον, κεφαλὴν ἔχει πετρώδη καὶ ἀπόσκληρον, καὶ ἐπιγραμμὰς ἔχει καθ' ὅλον τὸ σῶμα, ἐμφερεῖς τοῖς ζώοις ἐκείνοις τοῖς περιϊπταμένοις τοὺς λύχνους. Τὸ δὲ ἕκτον, **σκωλήκιον** ὀνομαζόμενον, ὑπόμηκες καὶ ὑπόσπιλόν ἐστι καὶ μάλιστα κατὰ τὴν κεφαλήν.

Τὰ μὲν εἴδη τῶν φαλαγγίων ταῦτα, ἅτινα δεῖ παραφυλάττεσθαι. τὰ δὲ παρακολουθοῦντα τοῖς πληγεῖσιν ὑπ' αὐτῶν, κοινὰ παρὰ τὸ μᾶλλον καὶ ἧττον. Δῆγμα δὲ λεπτὸν καὶ δυσθεώρητον· οἴδημα, πελίωμα· τισὶ δὲ καὶ ἐρύθημα. ψύξις περὶ τὰ γόνατα καὶ ὀσφὺν καὶ ὠμοπλάτας. ἔστι δ' ὅτε καὶ καθ' ὅλον τὸ σῶμα βάρος. ἔτι τὲ πόνος

1 ῥαγίον B. 2 παρόμοιον VW. παρομοίωται δὲ Ph. προσαγόρονται (ξ. διόρθ.) B. 3 ἄνευ «ῥάγιον» Ph. πόδας ἔχει APB. ἐξ ἑτέρου A. ἄνευ «καὶ» Ph. τὸ δὲ στόμα Ph. 4 κοιλίαν ἔχειν. ὁ δὲ λύκος λεγόμενος Ph. ταῖς ἀραχνίαις VW. 5 καὶ ἐπιλαμβανόμενος (ἡμ. ἀφῃρέσαμεν τὸ «καὶ») 6 σῶμα δὲ ἔχει VW. περιφερὲς. τὰ δὲ κατὰ τὸν Ph. 7 σώματος ἔχει Ph. στόματος αὐτοῦ V. ἀποφύσεις Ph. 8 μυρμίκειον λεγώμενον Ph. μυρμήκειον B. ὁμοίωτε μύρμικι Ph. ὁμοιότατον μύρμηκει B. μύρμικιω μεγάλῳ V. αἰθαλώδδες A. 9 χρώαν Ph. ἐν τῇ ὕπωται P. ἐντετύποτε —— ἰονὴ Ph. ἀγνοὶ W. εἰωνεὶ V. 10 ἄγη μᾶλλον (ἄνευ «ἄστρα») PhW. ἄνευ «δ'.» ABP. τὸ δὲ δ'. ὁ χρονολώπτης PhW. δ'. ὁ χρονοκολάπτης V. 11 κρανοκαλόπτης B. ἄνευ «καὶ» ABP. χλορὸν Ph. ἄνευ «τὸ» W. 12 παρὰ τὸν PhW. ἄνευ «τὴν» APB. κεφαλὴν αὐτοῦ V. 13 ἄνευ «πέμπτον» ABPVW. 14 σκληροκέφαλος Ph. ὑπόσκληρον B. ἄνευ «καὶ» VPh. ἐπιγραμμὰς δὲ ἔχει Ph. ἄνευ «ἔχει» V. 15 ζώεις Ph. 17 ἄνευ «ἐστι» Ph. 19 πληγήσιν Ph. 20 δῆγμα δὲ τούτοις λεπτὸν V. ἄνευ «δὲ« ABP. δυσθεόρητον Ph. οἴδημα δὲ B. 21 πελιῶν Ph. παρὰ τὰ PhW. ὀσφὴν Ph. ἄνευ «καὶ» Ph.

σύντονος καὶ τρόμος· ὠχρίασις, ἀγρυπνία. τισὶ δὲ καὶ ἔντασις τοῦ αἰδοίου καὶ κνησμὸς περὶ τὴν κεφαλήν· ἐνίοτε δὲ καὶ περὶ τὰς κνήμας. ὀφθαλμοὶ ἔνυγροι καὶ δακρύοντες καὶ κοῖλοι. κοιλία ἀνώμαλος ἐπήρτηται· οἰδαίνει τὸ σῶμα ὅλον, πρόσωπόν τε καὶ μάλιστα περὶ τὴν γλῶτταν, ὡς ἀσάφειαν τῆς διαλέκτου γενέσθαι· τισὶ δὲ καὶ δυσουρία παρέπεται μετ' ἐντάσεως τοῦ αἰδοίου καὶ ὀδύνης. Εἰ δὲ καὶ οὐρήσειεν, ὑδατώδη αὐτῶν ἐστὶ τὰ οὖρα, ἀραχνίοις παρεμφερόμενα ἔχοντα ἐν αὐτοῖς, καὶ ἔμετοι παραπλήσιοι· ἔστι δὲ ὅτε καὶ κατὰ κοιλίαν τοιαῦτα ἀποκρίνεται· καθιέμενοι δὲ εἰς θερμὸν ὕδωρ, ἀπονώτεροι δοκοῦσι γίνεσθαι· μετὰ δὲ ταῦτα συντόνως ἀλγοῦσι τὸ αἰδοῖον· οὐκ ἐντείνεται δέ. Κοινῇ μὲν οὖν ταῦτα παρέπεται· Κρονολόπτου [κρανοκαλόπτου] δὲ πλήξαντος, ἡ κεφαλὴ μᾶλλον ἀλγεῖ, καὶ σκοτώματα παρέπονται· ῥῖγος σύντονον, παρακοπή, ῥιπτασμός, καρδιωγμός.

Βοηθοῦνται δὲ πάντες οἱ φαλαγγιόδηκτοι, λουτρῷ συνεχεῖ θερμῷ· ἔστω δὲ καὶ τὸ καταντλούμενον τῇ πληγῇ ὕδωρ ἀφεψήματος τριφύλλου τῆς ἀσφαλτώδους μετ' ἐλαίου· λιπαίνειν δὲ κηρωτῇ ὑγροτάτῃ ὅλον τὸ σῶμα· ὠφελοῦνται δὲ πυριώμενοι σπόγγοις εἰς ὄξος θερμὸν ἀποβαπτομένοις καὶ ἐπὶ πολὺ προσαγομένοις τῇ πληγῇ. Καταπλάσματα δὲ αὐτοῖς ἁρμόδια· βολβοί, πολύγονον, πράσα, πίτυρα, ἑφθὰ ἐν ὄξει, κρίθινον ἄλευρον συνηψημένων αὐτῷ δάφνης φύλλων ἐν οἴνῳ καὶ μέλιτι, πήγανον, ὄλυνθοι συκῆς· αἰγεία κόπρος μετ' οἴνου χρήσιμος· σάμψιχον μετ' ὄξους, κύπερον, ἄγριον πήγανον.

Ἀσκληπιάδης δέ φησι, χρῶ τούτῳ δοκίμῳ ὄντι· πηγάνου ἀγρίου καὶ εὐζώμου σπέρματος, σταφίδος ἀγρίας, κάγχρυος, ἄγνου σπέρμα-

1 δὲ ἔντασις —— παρὰ τὴν Ph. 2 ἄνευ «καὶ» B. παρὰ τὰς Ph. 3 ἔν ὑγροι Ph. ἔνυδροι VW. κοῖλοι καὶ ἀνωμαλίαι ἐπήρτηται Ph. 4 καὶ ἠδένη Ph. παρὰ τὴν PhW. 5 ἀσάφιαν Ph. γένεσθαι B. 6 οὐρίσιεν Ph. 7 ἄνευ «αὐτῶν» B. αὐτὸν Ph. οὐρὰ B. παρεμφερῆ W. Ph. ἄνευ «ἔχοντα ἐν αὐτοῖς» ABPPhW. 8 ὅτε καὶ οὐρεῖται καὶ κατὰ κοιλίαν V. κοιλίαν τὰ αὐτὰ W. ὅτε καὶ οὐρῆται καὶ κατὰ κοιλίαν τὰ τοιαῦτα Ph. 9 δὲ ἐκθερμὸν —— ἀτονώτεροι B. ἀπονώτεροι Ph. 10 συντόνος Ph. 11 κοινὰ APVW. B. κρονολώπτου WPh. χρονοχολάπτου V. κρανοκαλόπτου B. 12 κεφαλὴ δὲ —— ἀλγὴ καὶ σκότωμα Ph. 13 παρέπεται PhW. καὶ ῥίγοι Ph. 15 ἀφεψήματος APV. τριφυλλίου τῆς Ph. 16 λειπαίνειν Ph. 17 πηριούμενοι Ph. 18 ἐπιπολὺ B. ἐπὶ πολλῇ πρὸς ἀγωμένης Ph. προσφερομένοις V. 19 πολύγονος B. πράσσα Ph. 20 συνεψημένων V. συνεψημένον Ph. συνεψειμένων W. συνηψημένον A. 21 ἢ μέλιτι VPh. αἰγία Ph. αἰγεῖα B. χρήσημος Ph. 22 σάμψυχον B. κυπέρον B. 23 ἀγρίου σπέρματος, εὐζώμου σπέρματος WPh. 24 σπερμάτων B. κάχρυος P.

τος, κυπαρίσσου σφαιρίων ἢ τῶν φύλλων ἴσα, ὄξει λειώσας καὶ μέλιτι ἀναλαβών, ἐπιτίθει· τὸ αὐτὸ καὶ πινόμενον ὠφελεῖ.

Περὶ Σκορπιοδήκτων.
κεφ. κα΄.

Τοῖς δὲ ὑπὸ Σκορπίων τρωθεῖσι, παρέπεται τῇ πληγῇ πόνος σφοδρότατος, περίψυξις καὶ νάρκη περί τε τὴν πληγὴν καὶ ὅλον τὸ σῶμα, ψυχρὸς ἱδρώς· καὶ τοῖς μὲν περὶ τὰ κάτω πληγεῖσιν, οἱ βουβῶνες ἐπεγείρονται· τοῖς δὲ περὶ τὰ ἄνω, αἱ μασχάλαι. Καὶ τοῖς μὲν ἐλαφρῶς πληγεῖσι, τοιαῦτα παρακολουθεῖ· τοῖς δὲ εὐτονώτερον, καῦσις περὶ τὴν πληγήν, ὡς ἐπὶ τῶν πυρικαύστων· μυρμηκίασίς τε περὶ τὰ χείλη καὶ ὅλον τὸ σῶμα, ὡς δοκεῖν χαλάζαις βάλλεσθαι· προσώπου διαστροφή, λῆμαι περὶ τοὺς ὀφθαλμοὺς κολλώδεις· δάκρυον γλίσχρον, σκληρότης ἄρθρων· πρόπτωσις ἕδρας μετὰ τεινεσμωδῶν προθυμιῶν· ἀφρὸς περὶ τὸ στόμα· ἔμετος δαψιλής, λυγμός, σπασμοὶ ὀπισθοτονικοῖς ὅμοιοι.

Πότιζε οὖν τούτους, ἕρπυλον, ἀλθέας ῥίζαν, ἐλαφόβοσκον· παραδόξως δὲ ποιεῖ καὶ χλωρὰ ἐσθιομένη καὶ ξηρὰ πινομένη· δίδου καὶ σταφυλίνου ἀγρίου σπέρμα καὶ τὰ ποντικὰ κάρυα. Ταῦτα γὰρ φησίν, ἐν τῇ ζώνῃ φορούμενα, οὐ συγχωρεῖν σκορπίον ἀδικεῖν.

Περὶ Ἀσπιδοδήκτων.
κεφ. κβ΄.

Τῶν ἀσπίδων δὲ ἐστὶν εἴδη κατὰ τοὺς θηριακοὺς τρία· αἱ μὲν γὰρ αὐτῶν καλοῦνται χερσαῖαι· αἱ δέ, χελιδοναῖαι, παρὰ τῇ ὄχθῃ

1 ἶσα APPh. λειῶσας — — ἐπιτίθη Ph. 2 τὸ αὐτῶ καὶ ποινόμενον Ph. 3 Σκορπιοπλήκτων WPh. 5 πληγεῖσι VW. πληγήσει Ph. παρέπεται πόνος τῇ πληγῇ VW. πόνος τῆς πληγῆς σφοδρότατος Ph. 6 καὶ περίσφυξις V. περίττε τὴν Ph. 7 ἱδρῶς BPh. 9 πληγήσει· βουβῶνες Ph. τῆς δὲ περὶ B. εὐτονωτέρως B. 10 παρὰ τὴν Ph. μυρμηγγίασις VW. ἄνευ «τε» Ph. παρὰ τὰ W.Ph. 11 χήλη Ph βάλεσθαι — — διαστροφῇ Ph. 12 λοίμαι V. παρὰ τοὺς W.Ph. 13 σκληρώτης Ph. τινεσμωδῶν Ph. 14 δαφηλῆς Ph. 16 ἄνευ «οὖν» Ph. ἔλπυλον A. ἀλθαίας Ph. 17 ἄνευ «δὲ» Ph. 19 συγχορεῖν σκορπίων Ph. 22 ἔστιν B. 23 χελιδονῖαι B. τὰ ὄχθη Ph. ὀχθὰς V. ὄχθη W.

τῶν ποταμῶν μάλιστα τοῦ Νείλου φωλεύουσαι· αἱ δέ, πτυάδες ὀνομάζονται. Αἱ μὲν οὖν χερσαῖαι μείζους εἰσίν· εὑρίσκονται δὲ ἐνίοτε καὶ ἕως πέντε πηχῶν τὸ μῆκος. [αἱ δὲ πτυάδες, μέγισται τούτων εἰσίν]. Αἱ δὲ χελιδοναῖαι, μείζους ἑνὸς πήχεος εὑρίσκονται, καὶ χροιὰν ὁμοίαν χελιδόνι ἔχουσιν· Αἱ δὲ πτυάδες, τεφρώδεις εἰσὶ τὴν χροιάν, ἔγχλωροι χρυσίζουσαι· αἱ δὲ χερσαῖαι, καὶ αὗται μὲν τὰ πολλὰ τεφρώδεις καὶ ὑπόχλωροι ἐνίοτε εὑρίσκονται. Κοινὰ δὲ συμπτώματα καὶ σημεῖα συμβαίνουσι τοῖς δηχθεῖσιν ὑπ' αὐτῶν. Κεντήματα γὰρ ἐπὶ τοῦ δεδηγμένου τόπου ὡς ἀπὸ βελόνης, δύο εὑρίσκονται ἐπὶ τοῦ ἄρρενος, ἐπὶ δὲ τοῦ θήλεος δ. δίχα πολλοῦ πόνου· οὐδὲν ἀποκρίνονται, εἰ μὴ βίαιον τὸ θηρίον τύχῃ. Παρέπεται δὲ νάρκη, ὠχρίασις προσώπου, καὶ μετώπου κατάψυξις· χάσμαι συνεχεῖς· βλεφάρων ἐπιμύσεις· τραχήλου παρέγκλισις, [καρηβαρία], νωθρεία, καταφορὰ ὑπνώδης, ἐπὶ τέλει δὲ καὶ σπασμός. Ὁ δὲ θάνατος ἐν ὥραις τρισὶ τὸ μήκιστον ἐπὶ τῆς χερσαίας, ἐπὶ δὲ τῆς χελιδοναίας, συντομώτατα. Τοῖς δὲ ὑπὸ πτυάδος προσεμπυομένοις παρέπεται ἀμαύρωσις ὄψεως, καρδίας πόνος, διόγκωσις προσώπου, ἀκοῆς ἀποκοπή, βράδιον δὲ τούτοις ὁ θάνατος παρέπεται. Βοηθοῦνται δὲ οἱ ἀσπιδόδηκτοι καὶ μάλιστα οἱ ὑπὸ πτυάδος δηχθέντες, ὄξος δριμύτατον πίνοντες· δίδου δὲ ἕως τῆς ποιότητος τοῦ ὄξους ἀντιλαμβάνωνται κατὰ τὸ δεξιὸν ὑποχόνδριον· τὸ γὰρ [ἧπαρ] ἀναισθητεῖν φασι πρῶτον ἐπὶ τῶν ἀσπιδοδήκτων. Εἰς δὲ τὸ προγνῶναι εἰ ζώσιμος ἐσεῖται ὁ δεδηγμένος, κενταύριον λεάνας μετ' οἴνου, δίδου πίνειν· καὶ εἰ μὲν ἐμέσει τὸ φάρ-

1 Νίλου Ph. 2 εὑρίσκοντε Ph. 3 «αἱ δὲ πτυάδες μέγισται τούτων εἰσὶν» παραλ. Ph. μέγισται πτυάδες τεφρώδεις V. 4 εὑρήσκεται Ph. 5 καὶ χρίαν ὁμοίαν χελίων Ph. χροίαν B. τεφρόδεις Ph. 6 ἄνευ «ἔγχλωροι» B. ἔγχλωροι χειρίζουσαι V. 7 ἐνίοτε δὲ καὶ ὑπόχλωροι V. 8 σημεῖα εὑρίσκονται PhW. ἄνευ «συμβαίνουσι» V. τοῖς ὑπὸ τούτων δηχθεῖσι V. 9 δεδιγμένου — — ὡς ἀπὸ βελώνης Ph. ἐπὶ βελόνης AHVW. 9-10 εὑρίσκεται Ph. ἀρρένος V. εἰ δὲ τοῦ Ph. εἰ δὲ θῆλυ VW. ἄνευ «δ.» VWPh. 11 ἀποκρίνοντα P. ἀποκρίνεται Ph. τύχοι AVWPh. 12 ἄνευ «προσώπου» V. ἄνευ «καὶ» B. μετόπου VPh. 13 παρέγκλησις VW. βλεφάρο, ἐπὶ μήσεις —— προέγκλησις Ph. ἄνευ «καρηβαρία AP. καρηβαρεία VW. καριβαρία Ph. νωθρία Ph. 14 σπασμοὶ B. ὥραις τὸ μήκηστον τρισὶν ἐπὶ ταῖς χερσαίαις Ph. 15 χελιδονείας Ph. συντομώματος PhVW. 16 πτιάδος Ph. 19 οἱ ἀπὸ P. 20 ἄνευ «τῆς» B. 21 ἄνευ «ἧπαρ» APWPh. φασὶν ἀναισθητεῖν W. ἀνεσθητεῖν Ph. 22 ἔσεται (ξ. διόρθ.) B. ἐστιν ὁ πεπληγμένος Ph. ἐστὶν ὁ δεδηγμένος VW.

μακον, ἀποθανεῖται· εἰ δὲ μή, ζήσεται. Εἰς δὲ τὸ καλῶς ἀπεμέσαι τὴν ἐκ τῆς ἀναδόσεως τοῦ ἰοῦ φαυλότητα, σκόροδα λεάνας, δίδου μετὰ ζύθου ἕως ὑπόναυτος γένηται· ἢ ὀποπάνακα δίδου μετ' οἴνου κεκραμένου, καὶ παραχρῆμα ἐνεργήσει.

Νουμήνιος δέ φησιν, ὀρίγανον διδόναι μετ' οἴνου χλωρὸν ἢ ξηρὸν πρὸς δύναμιν· μετὰ δὲ τοὺς ἐμέτους ταῖς θηριακαῖς ἀντιδότοις χρηστέον καὶ τοῖς προρρηθεῖσι κοινοῖς βοηθήμασιν. Ἐπιτίθεται δὲ ὠφελίμως κατὰ τῆς πληγῆς μετὰ τὸν κατασχασμὸν καὶ τὴν σικύαν, κενταύριον σὺν σμύρνῃ καὶ βραχὺ ὄπιον· λάπαθον δὲ εἰ καταπλασθείη, οὐδὲν βλάψει· παραδόξως δὲ ποιεῖ καὶ ἡ δι' ἐχιδνῶν θηριακὴ κατὰ τῆς πληγῆς ἐπιτιθεμένη καὶ ποτιζομένη. Ὠφελοῦσι δὲ αὐτοὺς καὶ αἱ συνεχεῖς διεγέρσεις μετὰ τιλμῶν τε καὶ πληγῶν, καὶ κίνησις ὅλου τοῦ σώματος καὶ θάλασσα θερμὴ καταιονουμένη.

Περὶ Ἔχεως καὶ Ἐχίδνης.
κεφ. κγ'.

Ἡ ἔχιδνα κατὰ μὲν τὴν χροιὰν ἐστὶν ὑπόξανθος, διακεκοσμημένη στιγμαῖς πολλαῖς τριχοειδέσι· μέγεθος δὲ αὐτῆς πήχεος ἑνός, τῆς δὲ μεγίστης παλαιστῶν τριῶν· οὐρὰν δὲ ἔχει ἀθρόως εἰς λεπτὸν λήγουσαν καὶ οὐ κατὰ βραχὺ μειουμένην, καὶ παντάπασιν ἄσαρκον καὶ τραχεῖαν. Ὀφθαλμοὶ δὲ ταύτης ὑπέρυθροι, καὶ κεφαλὴ πλατυτέρα καὶ τράχηλος στενότερος, γαστέρα δὲ προκολποτέραν ἔχει καὶ τὸν πόρον πρὸς ἄκρα μᾶλλον τῇ οὐρᾷ. ἠρεμαῖον δὲ τὸν περίπατον ποιεῖται, καὶ τέσσαρας ἔχει κυνόδοντας. Ὁ δὲ ἔχις, λέγω δὴ ὁ ἄρρην, τὴν αὐτὴν μὲν ἔχει χροιάν, τὴν δὲ κεφαλὴν ἔχει στενοτέραν, καὶ τὸν

1 ἀποθανῆται Ph. ἀπὸφανεῖται V. εἰ δὲ τὸ V τὸ καλὸς Ph. ἀπέμεσαι B. 2 ἀναδώσεως Ph. λέανας B. 3 ὑπόναυσος VW. ὑπόναυσως Ph. 5 Νούμιος V. Νουσίος Ph. δίδου PhVW. 7 ἐπιτίθενται δὲ ταῦτα ὠφελίμως V. 8 μετὰ τῶν κατασχασμῶν καὶ τοῖς συκίοις Ph. 9 καὶ βραχέος ὀπίου PhVW. 10 οὐδὲν βλαστήσεται VWPh. 12 ἐσυνεχεὶς διέγερσις Ph. διέγερσεις P. ἄνευ «τε» PhP. καὶ κίσις ὅλου AP. κήνισις Ph. 13 κατεονουμένη Ph. καταιωνομένη (ξ. δ. κατεονημένη) B. 16 ὑποξάνθη B. 17 τραχοειδέσι A. ἄνευ «αὐτῆς» Ph. πίχεως· τῆς δὲ Ph. ἄνευ «ἑνός» VPh. 18 καὶ παλαιστῶν Ph. παλαιῶν τριῶν AP. ἀθροίως B. λεπτὰ V. 19 ἄνευ «καὶ» V. μιουμένην Ph. ἄσαρκος ἡ οὔρα καὶ τραχέα V. ἄσαρκος ἡ οὐρὰ καὶ τραχεῖα Ph. 20 ἄνευ «ταύτης» VWPh. πλατητέρα Ph. 22 ποιήται Ph. 23 ἄνευ «ἔχει» VW. λέγο δὴ ὁ ἄρριν τὴν μὲν αὐτὴν Ph. 24 ἄνευ «δὲ» Ph.

τράχηλον παχύτερον, καὶ τὸ πᾶν σῶμα λεπτότερον καί πως ὡς εὐμηκέστερον· τὸν δὲ πόρον ἄνω περὶ τὴν γαστέρα ἔχει, καὶ προπετεστέρως κινεῖται. κυνόδοντας ἔχει δύο μόνους· κατὰ βραχὺ δὲ λήγει εἰς μείουρον, ὥσπερ οἱ ἄλλοι ὄφεις, οὐκ ἀθρόως ὥσπερ ἡ ἔχιδνα· καὶ τούτοις διαφέρει τῆς θηλείας. Εὑρίσκονται τοίνυν ἐπὶ μὲν τῶν ὑπὸ τοῦ ἄρρενος δηχθέντων κεντήματα δύο ἐπὶ τῆς πληγῆς, ἐπὶ δὲ τῶν ὑπὸ τῆς θηλείας, κεντήματα δ. αἷμα δὲ πρῶτον ἐκκρίνεται· εἶτα αἱματώδης ἰχὼρ ἢ καὶ ἐλαιοειδὴς καὶ χολώδης· ὄγκος διάπυρος, φλυκταινώδης, ὑπέρυθρος· εἶτα πελιὸς καὶ μελαινόμενος καὶ νεμόμενος· στόμα κατάξηρον· ἔγκαυσις, ἔκλυσις, φρικώδης διαδρομή· ποτὲ δὲ καὶ χολώδης ἔμετος· στρόφος, βάρος κεφαλῆς· σκοτοδινίασις, ὠχρίασις, λυγμός, πυρετός, ταχύπνοια, χρῶμα μολυϐδῶδες, ἱδρὼς ψυχρός. Ὁ δὲ θάνατος ἐν ὥραις ἑπτά· τὸ δὲ μήκιστον, τρίτῃ τῶν ἡμερῶν ἐπὶ τῶν μὴ σωζομένων, καὶ μάλιστα τοῖς ὑπὸ ἐχίδνης δηχθεῖσι.

Προσήκει τοίνυν πρὶν δίαιμον οὐρῆσαι, σκόροδα πλείονα ἐσθίειν, καὶ ἄκρατον πολὺν πίνειν καὶ ἐμεῖν· ἰσχυρότατον γὰρ ἐπ' αὐτῶν ἐστὶ βοήθημα ἡ σκοροδοφαγία καὶ ἀκρατοποσία, φησὶν Ἀρχιγένης· ὥστ' ἂν ὑπομένῃ τὶς τὴν πλείονα βρῶσιν καὶ πόσιν, μὴ χρήζειν ἄλλου βοηθήματος· δίδου δὲ ἀνυπερθέτως πίνειν καὶ τὴν δι' ἐχιδνῶν θηριακὴν καὶ κατὰ τῆς πληγῆς ἐπιτίθει· καὶ αὐτὴν δὲ τὴν ἔχιδναν ἀποδείρας καὶ ἑψήσας χωρὶς κεφαλῆς καὶ οὐρᾶς καὶ τῶν ἐντοσθίων δίδου φαγεῖν ὅλην ὡς ἐγχέλην· τὴν δὲ ἀποκοπεῖσαν κεφαλὴν λαϐίδι κατέχων ἀκριϐῶς ἐπιτίθει τῷ δήγματι τὸ πρὸς τὸν τράχηλον μέρος ἔνθερμον, καὶ

1 τράχηλον πλατύτερον Ph. καὶ ποσῶς V. ἄνευ «ὡς» PhW. 2 προπετεστέρος κηνεῖται Ph. 3 δὲ ἔχει VWPh. [ἐν τῷ B ξ. γρ. διαγρ. «δὲ»]. καταβραχὺ B. 4 μύουρον Ph. ἄνευ «ἡ» Ph. καὶ τοῦτο VW. 5 εὑρήσκεται Ph. εὑρίσκεται VW. μὲν τοίνυν ἐπὶ τῶν B. τοίνυν ὑπὸ μὲν τοῦ Ph. 6 ἄρενος δηχθέντος Ph. ἀρρενὸς B. «δύο ἐπὶ τῆς πληγῆς· ἐπὶ δὲ τῶν ὑπὸ τῆς θηλείας, κεντήματα δ'» παραλ. B. 8 ἐλαιώδης VPh. χωλόδης Ph. 8-9 φληκτενώδης, ὑπέριθρος Ph. πελιδνὸς VW. 10 φρικόδης Ph. 10 πότε δὲ B. 11 χωλόδης αἵμετος Ph. 12 ἄνευ «ψυχρός» A. ψυχρὸν Ph. 13 «τὸ δὲ μήκιστον, τρίτῃ τῶν ἡμερῶν ἐπὶ τῶν μὴ σωζομένων» παραλ. B. 14 ἄνευ «μὴ» PhPA. ἐπὶ ἐχήδνης δηχθῆσι Ph. 15 προσήκοι Ph. οὐρεῖσθαι B. οὐρεῖται V. ἐσθείειν Ph. καὶ οἶνον ἄκρατον VW. 16 πολλὴν BPh. ἐμεῖν ἀγωνιστικώτατον δὲ ἐπ' αὐτῶν Ph. ἀνιστηκώτατον γὰρ ἐπ' V. ἀνισημώτατον (ἀγωνιστικώτατον) W. 17 ὡς ὅταν VW. 18 ὑπομείνῃ P. πλείωνα πόσιν καὶ βρῶσιν Ph. ἄνευ «τὴν» AP. ἄλου Ph. 19 αἰχιδνῶν — — πληγᾶς Ph. 20 ἐπιτήθη Ph. 21 ἐντοσθι («δίων» ξ. γρ.) A.

ἀφαρπάσεις τὸν ἰόν· ἢ ἐκμυζάτω τις τῷ στόματι τὴν πληγήν, προδιακλυσάμενος ἐλαίῳ, ὡς προείρηται ἐν τοῖς βοηθήμασιν, ἢ ὄρνιν ἀνασχίσας, ἐπιτίθει τῷ δήγματι ἔνθερμον καὶ συνεχῶς ἄλλασε. Προκατασχάζειν δὲ χρὴ κατὰ κύκλον τὸν τόπον καὶ σικυάζειν· εἶτα μελεας φύλλα κόψας καὶ χυλίσας, δίδου πιεῖν τὸν χυλόν· τῷ δὲ ἀποθλίμματι κατάπλαττε τὸ δῆγμα. Ἔστι δὲ μελέα δένδρον ἐξ οὗ τὰ λεγόμενα μελεϊνα ξύλα κομίζεται· πάνυ γὰρ ἐνεργές ἐστι τοῖς ἐχεοδήκτοις τὸ φυτόν, καὶ μελισσοφύλλου δὲ τὰ φύλλα καὶ ὁ χυλὸς πινόμενα σὺν οἴνῳ καὶ τῇ πληγῇ ἐπιτιθέμενα, ἐναργῆ τὴν ὠφέλειαν δείκνυσι, κἂν ἤδη ἀποθνήσκῃ ὁ κάμνων· φασὶ δὲ ὅτι ἐάν τις μελανθίου ⟨δ φάγῃ, οὐκ ἀποθνήσκει· παραπλησίως δὲ ἐνεργεῖ καὶ ἡ μηκαφρότιδος βοτάνη· καὶ καρκῖνοι δὲ ποτάμιοι λεῖοι σὺν γάλακτι λειωθέντες καὶ πινόμενοι καὶ ἐπιτιθέμενοι ἐπὶ τῷ δήγματι. μεγάλως ὠφελοῦσι· καὶ βάτραχοι ἐσθιόμενοι ἑφθοί, καὶ ὁ ζωμὸς τούτων πινόμενος· δίδου ἐσθίειν καὶ κάρδαμα πολλά, ἢ λειώσας μετ' οἴνου πότιζε· ποιεῖ δὲ θαυμασίως καὶ χελώνη θαλασσία ξηρὰ σὺν ἀγρίῳ κυμίνῳ πινομένη. Χρῶ δὲ καὶ πᾶσι τοῖς προγεγραμένοις κοινοῖς βοηθήμασι. περιττὸν γὰρ πλειστάκις ταῦτα γράφειν· καὶ μάλιστα τῇ ἀγχούσῃ ῥίζῃ καὶ τῷ ἡλιοτροπίῳ σὺν οἴνῳ· δίδου δὲ καὶ λίθον αἱματίτην· βοηθοῦσι καὶ ῥαφανίδες ἐσθιόμεναι πολλαὶ καὶ ἐμούμεναι. Δοτέον δ' ἐσθίειν μετὰ τὸν ἔμετον τὴν θηριακὴν Ἀνδρομάχου, καταντλητέον τε τὴν πληγὴν μετὰ τὸν κατασχασμὸν καὶ τὴν τῶν ὀρνίθων ἐπίθεσιν, τριφύλλου τῆς ἀσφαλτίτιδος ἀφεψήματι θερμῷ ἐπὶ πολὺν χρόνον· χεῖρον γὰρ

1 ἀφαρπάσι Ph. ἀφαρπάσει B. ἐκμηζησάτο τις Ph. πρῶτον διακλυσάμενος W. 2 ὄρνην Ph. 3 τὸ δίγματι Ph. ἄλασσε Ph. ξ. δ. B. προκατασχίζειν VPh. 4 συκιάζειν —— μελαίας Ph. μελίας B. 5 χυ ήσοις Ph. τὸ δὲ ἀπόθλημα Ph. 6 μελία B. μελαία —— μελαίηνα Ph. 7-8 ἐχεωδήκτοις APh. 9 ἐναργεῖ τὴν ὠφελείαν B. ὀφελίαν δύκνισιν Ph. 10 ἀποθνήσκει B. 11 φαγῇ B. ἐνεργείων A. μιχραφρόδιτος PhW. μελαφρόδιτος (ξ. δ. «μικαφρόδιτος») B. μικαφρόδοτος A. 14 ἐσθιώμενοι Ph. ἐφθοὶ APB. ζωμὼς αὐτῶν —— αἰσθείειν Ph. 15 λείωσας —— ποτίζε B. ἄνευ «δὲ» ABP. 16 θαυμαστῶς καὶ χελώνης αἷμα ξηρῷ VW. πινόμενον VW. 17 χρῶ δὲ μάλιστα τῆς ἀγχούσης VW. 18 τῇ ἀγχούσῃ ABP. 19 ἄνευ «δὲ» B. 20 ῥαφανίδαις Ph. εἶτα ἐμουμεναι [ἄνευ «καὶ»] Ph. Δοτέον δὲ εὐθὺς μετὰ WPh. 21 ἔμαιτον Ph. δὲ τὴν πληγὴν Ph. 22 τριφυλλίου τῆς ἀσφαλτώδους Ph. 23 ἀσφαλτιτίδος B. πολλὴν Ph.

διατίθεται ἐπ' ὀλίγον καταντληθεῖσα· ἔπειτα κατάπλασσε πράσων καρπὸν μεθ' ἁλῶν, ἢ σκόροδον μετ' ὄξους, ἢ τὴν τέφραν αὐτοῦ κεκαυμένην, ἢ μελέας τέφραν σὺν ὄξει, ἢ ἀσφοδέλου φύλλα, ἢ συκαμίνου φύλλα μετὰ τοῦ καρποῦ, ἢ δάφνης φύλλοις ἁπαλοῖς καὶ λείοις μετ' ἐλαίου κατάπλασσε καὶ μάλιστα πρὸ τοῦ μῦσαι τοὺς τόπους, ἢ αἰγὸς σπυράθους μετ' οἴνου ἐπιτίθει.

Περὶ Διψάδος.
κεφ. κδ'.

Ἡ διψὰς ὑπό τινων καλεῖται καὶ Καῦσος· εἶδος δέ ἐστιν ἐχίδνης ἐν τοῖς παραθαλασσίοις μᾶλλον εὑρισκομενη τῷ μεγεθει πηχυαια, ἐκ πάχους ἐπὶ λεπτον ἠγμένη· στιγμαὶ δὲ καθ' ὅλον τὸ σῶμα εἰσὶ κιρραὶ καὶ μέλαναι· ἡ δὲ κεφαλὴ στενοτέρα. Παρέπεται δὲ τοῖς ὑπ' αὐτῆς δηχθεῖσιν, οἷά περ πρὸς τοὺς ὑπὸ ἐχίδνης δηχθέντας προείρηται· δίψος ἀφόρητον, ὥστε καὶ πλείονος διδομένου τοῦ ποτοῦ μὴ παύεσθαι τούτους τῆς δίψης· μήτε μὴν δι' οὔρων, μήτε δι' ἐμέτων, μήτε δι' ἱδρώτων ἐκκρίνεσθαι μηδέν. Ἀπόλυνται δὲ κατὰ δύο τρόπους· ἢ δίψει πολλῷ φλεγόμενοι ἢ λαμβάνοντες ποτόν, ἐν τῇ πληρώσει ὑποταθείσης τῆς γαστρός, ῥήγνυνται ἢ κατὰ τοὺς βουβῶνας ἢ κατὰ τὸ ὑπογάστριον, ὡς ἐπὶ τῶν ὑδρωπικῶν γίνεται. Βοηθοῦνται δ' οὗτοι τοῖς ἐπὶ ἐχεοδήκτων εἰρημένοις· ἰδίως δὲ ἐπὶ τούτων διουρητικώτερα ἔστω τὰ πινόμενα, καὶ τὴν κοιλίαν κλύζειν, καὶ ἔλαιον διδόντας σὺν τοῖς ἀφεψήμασιν ἐμεῖν ἀναγκαστεον. Κατὰ δὲ τῆς πληγῆς μετὰ

1 διατήθεται Ph. διατίθενται W. καταντληθεῖσαν — — πόρου (ξ. δ. «πρῶτον») B. καταντληθέντες V. καταπλάσσειν πράσον καὶ ἄρτον μεθ' V. ἄνευ «πράσων καρπὸν» B. καὶ ἄρτον μεθ' ἁλῶν (ξ. γρ. διορθ.) B. 2 καρπῶν Ph. 3 μηλέας Ph. μελίας B. ἄνευ «σὺν ὄξει» V. ἀσφοδήλου φύλλοις B. 4 φύλλα μετὰ καὶ καὶ ἄρτων ἢ δάφνης V. φύλλοις — — καρποῦ ἐν ἄλλῳ μετὰ ἄρτου ἢ δάφνης B. ἁπαλοῖς ἐφθοῖς V. 5 τοποὺς — — αἴγος B. 6 ἐπιτήθει Ph. 11 κιραὶ Ph. 12 ἄνευ «τοῖς ὑπ' αὐτοῖς» VPh. ἐπ' αὐτῆς B. 13 διχθῆσι τὰ πρὸς τῆς ὑπὸ Ph. δηχθεῖσι εἰρημένα καὶ δίψος PhW. ἐπὶ ἐχίδνης εἰρημένοις καὶ δίψος V. 14 πάδεσθαι Ph. 15 ἄνευ «τούτους» VPh. τούτου B. τὴν δίψαν VPh. μήτε μὲν A. 16 ὑδρότων Ph. 17 φλεγόμενοι ἢ τὸ πλήθει τοῦ ποτοῦ ἐν τῇ πληρῶση Ph. λαμβάνοντες (ξ. δ.) B. εἰ μὴ λαμβάνειεν ποτὸν ἢ τῇ V. ἢ λαμβάνεις W. ὑποταθῆσα ἡ γαστὴρ PhW. 18 ῥήγνανται B. ῥύγνηται VPh. τοὺς βουβῶνας κάτω ἢ πρὸς τὸ VPh. 19 τῷ ὑπογαστρίῳ Ph. γίνονται B. 20 ἰδιῶς B. 21 ἐψήμασιν VW.

τὸν ἐκμυζησμὸν καὶ τὸν κατασχασμὸν ἢ τὴν σικύαν καὶ τὰς ἀνεσχισμένας ὄρνιθας, ἄσβεστον μετ' ἐλαίου ἐπιτίθει καὶ τὰς ἐπισπαστικὰς ἐμπλάστρους [καὶ τὴν θηριακήν].

Περὶ Παρώου καὶ Σπαθιούρου.
κεφ. λϐʹ.

Ὁ Παρῶος ὄφις ἐν τοῖς κατὰ Συρίαν εὑρίσκεται τόποις· τῷ δὲ χρώματι, οἱ μὲν εἰσὶ χαλκίζοντες. οἱ δὲ μελανίζοντες· οὐκ ἀναιροῦσι δὲ δάκνοντες, ἀλλ' ὡς ἀμφίσϐαινα καὶ σκυτάλη, καὶ οὗτοι πλήξαντ·ς, φλεγμονὴν μόνον ἐπιφέρουσι· διὸ καὶ τοῖς αὐτοῖς θεραπευέσθωσαν ἢ τοῖς ἐπὶ χερσύδρου ῥηθησομένοις. Ὁ δὲ Σπαθίουρος ἐν τοῖς κατὰ Χαλκίδα τόποις μᾶλλον εὑρίσκεται· ἔστι δὲ ζῶον ἐκ πάχους ἐπὶ λεπτὸν ἠγμένον κατὰ τὴν οὐράν· πλατυκέφαλον δέ ἐστι καὶ τοὺς μῦς ἐσθίει· οὐκ ἀναιρεῖ γοῦν οὐδ' οὗτος δάκνων, ἀλλὰ μόνον φλεγμονὴν ἐπιφέρει, διὸ καὶ οἱ ὑπ' αὐτοῦ πληγέντες, τοῖς ὁμοίοις θεραπευέσθωσαν.

Περὶ Βασιλίσκου.
κεφ. λδʹ.

Ὁ Βασιλίσκος ἔστι μεγέθει παλαιστῶν τριῶν, ὑπόξανθος καὶ ὀξυκέφαλος· ἐπί τε τὴν κεφαλὴν τρεῖς ὑπεροχὰς ἔχει, δύναμιν δὲ κέκτηται μεγίστην ὑπὲρ τὰ ἄλλα ἑρπετὰ πάντα, ὡς μὴ δύνασθαι τινὰ αὐτῶν μηδὲ τὸν συριγμὸν αὐτοῦ ὑπομένειν· ἀλλὰ κἂν ἐπὶ τροφὴν ἢ ποτὸν τινὰ τῶν ἄλλων ἐπείγηται ἰοϐόλων, καὶ αἴσθηται τὴν τοῦ βασιλίσκου παρουσίαν, ὑποχωρεῖν, μηδὲν τῆς ἀναγκαίας τροφῆς πρὸς τὸ ζῆν φροντίσαντα. Τοῖς δὲ ὑπ' αὐτοῦ δηχθεῖσι συμβαίνει φλόγωσις

1 ἐκμυζηθμὸν V. ἐκμυζισμὸν Ph. καταχασμὸν ABP. σηκύαν A. σηκυίαν A. συκίαν Ph. 2 ὄρνεις VW. 3 ἄνευ «καὶ τὴν θηριακὴν» APPhW.

6 παροῦροι ὄφεις V. τῷ μὲν B. 7 χρώματι εἰ μὲν Ph. 8 ἀμφὶς σϐένα καὶ σκιτάλλη Ph. 11 χαλκιδόνα Ph. εὑρίσκεται μᾶλλον B. 12 οὖραν B. 13 ἐσθίειν Ph. δὲ οὐδ' οὕτως δάκνων Ph. γοῦν (ξ. δ. «δὲ») B. 17 τοῦτο τὸ ζῶον ἔστι (ἄνευ «ὁ βασιλίσκος») Ph. ὁ βασιλίσκος τὸ ζῶον V. μέγ.θος B. ὑπόξανθον καὶ ὀξυκέφαλον Ph. 18 ἐπὶ δὲ τὴν B. ἔχει Ph. ἔχων APVW. 19 μεγήστην Ph.

19-20 τινὰ αὐτὸν μήτε Ph. 20 ἄνευ «μηδὲ» B. μηδὲ (ξ.γρ.) P. ἄνευ «αὐτοῦ» V. ἀλλὰ καὶ ἐπὶ B. 21 ἐπί|εται Ph. ἄνευ «ἰοϐόλων» VW. 22 βασιλίσκου περὶ τὸν τόπον παρουσίαν BV. ἀναγκαίας πρὸς τὸ ζῆν PhW. 23 φροντίσας VW.

ὅλου τοῦ σώματος καὶ πελίωσις· ἀπορρέουσί τε καὶ αἱ τρίχες τοῦ σώματος εὐθέως, καὶ ἐν ἀκαρεῖ χρόνῳ ὁ θάνατος ἕπεται· ἀλλὰ μὴν καὶ τοῦ νεκροῦ σώματος [θανόντος] οὐδὲ ἓν ζῶον σαρκοφάγον θιγγάνει· εἰ δὲ ὑπὸ λιμοῦ βιασθὲν ἅψοιτο, αὐτίκα καὶ αὐτῷ ὁ θάνατος ἐπισκήπτει. Φασὶ δὲ ὅτι καὶ ὁραθεὶς μόνον καὶ συρίττων ἀκουσθείς, ἀναιρεῖ τοὺς βλέψαντάς τε αὐτὸν καὶ τοὺς ὑπ' αὐτοῦ ὁραθέντας καὶ τοὺς ἀκούσαντας αὐτοῦ· ὅθεν μάταιον καὶ περιττὸν ἡγούμεθα βοηθήματα ἐπὶ τούτων ἀναγράφειν.

Περὶ Δρακόντων.
κεφ. λε΄.

Ὁ δράκων οὐκ ἔστιν ἰοβόλον, ἀλκῇ δὲ καὶ δυνάμει ἀναιρεῖ. Πλεονάζουσι μέντοι οἱ δράκοντες ἐν τῇ Αἰθιοπίᾳ καὶ ἐν τῇ Λυκίᾳ, τῷ δὲ χρώματι διαφέρουσιν. Οἱ μὲν γὰρ αὐτῶν εἰσὶ μέλανες, οἱ δὲ κιρροί, οἱ δὲ τεφρώδεις· καὶ οἱ μὲν εἰσὶ πήχεων πέντε, οἱ δὲ δέκα, οἱ δὲ καὶ τριάκοντα, ἱστοροῦνται δὲ καὶ μείζονες. φολίσι τε κέχρηνται καθ' ὅλον τὸ σῶμα τραχυτάταις, καὶ μεγάλους ἔχουσι τοὺς ὀφθαλμούς· καὶ ὑπὲρ τοὺς ὀφθαλμούς, προϋπεροχάς τινας ἐοικυίας ἐπισκηνίοις· ὑπὸ δὲ τῷ γενείῳ ἀπόφυσίν τινα ἔχουσιν, ἣν καλοῦσι πόγωνα. Τὰ δὲ διαστήματα τῶν στομάτων μεγάλα· γλῶσσα προπετής, καὶ ὀδόντες μεγάλοι, ἐοικότες τοῖς τῶν ἀγρίων συῶν, ὅθεν καὶ κατάγματα ἀπεργάζονται. Αἱ θεραπεῖαι τοίνυν ὡς ἐπὶ τῶν δακνόντων ζώων γινέσθωσαν καὶ ἐπὶ τῶν ἰοβόλων.

1 «καὶ πελίωσις· ἀπορρέουσί τε καὶ αἱ τρίχες τοῦ σώματος» παραλ. B. ἀπορεουσῆται Ph. 2 ἀκαιρεῖ V. ἀλλὰ μὲν B. 3 σώματος θανόντος Ph. ἄνευ «θανόντος» PB. ξ. δ. A. ἄνευ «σαρκοφάγον» V. 4 λίμου B. ἅψεται αὐτόθι αὐτῶ ὁ Ph. 5 ὁραθὲν μόνον Ph. συρίσων —— ἀνερεῖ τοὺς ἀκούοντας αὐτοῦκαὶ τοὺς ὁραθέντας ὑπ' αὐτοῦ Ph. 8 πέριττον ἡγουμέθα B. 9 ἐπὶ τούτου VWPh. 11 τὸ ζῶον τοῦτο οὐκ ἔστιν (ἄνευ «ὁ δράκων») Ph. ἀλκεῖ δὲ —— ἀνερεῖ Ph. 12 ἐθιοπεία Ph. λυκεία Ph. τὸ δὲ Ph. 13 διαφέρουσι B. γὰρ αὐτὸν Ph. 15 φωλίσι δὲ B. φολλῆσι δὲ κέχρινται Ph. 16 τραχύταταις B. ἄνευ «καὶ» Ph. μεγαλοὺς B. μεγάλους δὲ ἔχουσι Ph. 17 ὀφθαλμοὺς καὶ ἀνωτέρω τῶν ὀφθαλμῶν ὑπεροχας (ξ. γρ. διαγρ.) B. προχὰς τινὰς Ph. ἐπισκινίοις VWPh. 18 ἐπὶ δὲ τῷ B. πόγονα Ph. 19 καὶ ὀδόντας Ph. 20 κάταγμα Ph. 21 θεραπίαι Ph. 22 καὶ οὐκ ἐπὶ τῶν B. ἐπὶ ἰοβόλων Ph.

Περὶ Χερσύδρου.
κεφ. λς΄.

Ὁ ὄφις οὗτος κατὰ τοῦτο ὠνομάσθη Χέρσυδρος· ἐν μὲν γὰρ ταῖς ἀρχαῖς διατρίβει ἐν τοῖς ἐνύδροις τόποις καὶ λέγεται ὕδρος, μετέπειτα δὲ ἐν τοῖς ξηροῖς τόποις καὶ κατὰ σύνθεσιν τῶν τόπων τὸ ὄνομα κέκτηται. Ἐν τῇ χέρσῳ οὖν διατρίβων, καλεῖται χέρσυδρος, ὅτε καὶ χαλεπώτερος ἑαυτοῦ μᾶλλον γίνεται· ἐν μὲν γὰρ τοῖς καθύγροις τόποις τῆς ὑγρᾶς ἐμφορούμενος τροφῆς, οὐκ ἄκρατον τὸν ἰὸν ἔχει· χερσαῖος δὲ γενόμενος, εἰλικρινέστατον τοῦτον ἔχει καὶ χαλεπώτερον. ὡμοίωται δὲ χερσαίᾳ ἀσπίδι μικρᾷ, δίχα τοῦ πλατύνειν τὸν αὐχένα· τοῦτο γὰρ ἐξαίρετον μόνον ἀσπίδες ἔχουσι παρὰ τοῦτον. Τοῖς οὖν ὑπὸ τούτου δηχθεῖσι συμβαίνει τὰ κοινά, ἃ κἀπὶ τῶν ἄλλων· οἷον διόγκωσις, πόνοι συνεχεῖς, πυρώδης καὶ πελιὸς ὁ τόπος καὶ τρυγώδης· ἴλιγγος, ἐκλύσεις, ἔμετοι χολωδῶν δυσωδῶν· ἴδιον δέ, κίνησις ὅλου τοῦ σώματος ἄτακτος, ὡς κατὰ κοιλίαν τινὰ φέρεσθαι ἀνοικείως· ὁ δὲ θάνατος μέχρι τριῶν ἡμερῶν. Βοηθοῦνται δὲ τοῖς κοινοῖς βοηθήμασι καὶ ταῖς θηριακαῖς ἀντιδότοις, ἰδίως δὲ κυπαρίσσου καρποῦ, μύρτων, ἀνὰ ⟨α· λεάνας, δίδου πίνειν σὺν ὑδρομέλιτι ἢ οἰνομέλιτι, κατὰ δὲ τὸν πεπονθότα τόπον τὴν ἄσβεστον σὺν ἐλαίῳ ἐπιτίθει καὶ τὰ ὅμοια.

Περὶ Φρύνου.
κεφ. λζ΄.

Ὁ φρύνος εἶδος βατράχου ἐστίν· ἐκ τῆς λιμνοβίου δὲ φύσεως μεταβεβηκὼς ἐπὶ τὴν χερσόβιον, φρύνος προσαγορεύεται, ἐμφερῶς τῷ Χερσύδρῳ, πρὸς δυσαχθῆ κάκωσιν τῶν ἐντυγχανόντων. Ἔστι γὰρ ζῷον τῷ μεγέθει ὡς μηδὲν ἐλαττοῦσθαι τῆς βραχείας χελώνης· τρα-

3 ὀνόμασται Ph. χερσύδρος VB. 7 γίγνεται Ph. 8 ἐμφορουμένος B. 10 ὁμοίωτε Ph. ὁμοίωται B. 11 τοῦτον γὰρ ἐξαιρέτον B. παρα τούτου Ph. 12 δηχθῆσι συμβένι Ph. 13 ἄνευ «καὶ» Ph. 14 ἰλίγγος B. ἔκλυσις, αἵμετοι Ph. 17-18 καρπὸν ⟨α. μύρτων ⟨α Ph. μυρτῶν B. 18 σὺν οἰνωμέλιτι ἢ ὑδρομέλιτι Ph. 19 τόπον ἄσβεστον- - ἐπιτιθέναι Ph. 21 φρήνου (ξ. δ) B. 23 βατράχου εἶδος V. 24 μεταβεβληκὼς V. μεταβεβηκός Ph. χερσαῖον V. ἐμφερῶς τὸ Ph. 25 ἄρμοστος· ἔστι B. ἔστι δὲ - - τὸ μεγέθη Ph. 25 δυσαλθῆ VWB. 26 βραχίας Ph.

χύνει δὲ τὰ νῶτα, καὶ πολὺ ἐπὶ τῇ τοῦ πνεύματος ἐμπλήσει διοιδοῖ· τολμηρότερόν τέ ἐστι· διαμύνεται γὰρ πρὸς τὸ ἄντικρυς, καὶ τοῖς πηδήμασι τὸ μεταξὺ συναίρει διάστημα. Σπανίως μὲν δήγματι χρώμενος· ἆσθμα δὲ τούτου πέφυκεν ἰῶδες ἐμποιοῦν σφοδρόν, ὥστε κἂν μὴ θίγῃ, τῷ ἄσθματι βλάπτειν τοὺς πλησίον γιγνομένους· πλείονα δὲ περὶ τοῦ ζώου τούτου ἱστορούμενα παραπέμπομαι, ὡς μόνα τὰ χρήσιμα παραθέσθαι. Παρακολουθεῖ δὲ τοῖς ὑπὸ τούτου βλαβεῖσιν, οἴδημα ὅλου τοῦ σώματος καὶ κατάρρηξις καὶ σύντομος ἀπώλεια Τὰ οὖν ἁρμόζοντα τούτοις βοηθήματα παρενεκτέον ἐκ τῶν καθολικῶν ἀντιδότων καὶ ἐπιθεμάτων καὶ τῆς ἄλλης ἐπιμελείας.

Περὶ Πιτυοκάμπης.
κεφ. νγ΄.

Τοῖς ὑπὸ Πιτυοκάμπης δηχθεῖσιν, εὐθέως πόνος περὶ τὸ στόμα καὶ τὸν οὐρανίσκον γίνεται, γλώσσης δὲ φλεγμονὴ ἰσχυρά· καὶ στομάχου ἄλγημα καὶ κοιλίας καὶ ἐντέρων ἰσχυρὸν μετὰ κνησμώδους περὶ τὸ ἐντὸς αἰσθήσεως, πύρωσίς τε καθ' ὅλον τὸ σῶμα καὶ ἀσιτία. Βοηθεῖ δὲ καὶ τούτοις τὰ ἐπὶ τῶν κανθαρίδων εἰρημένα, ἰδίως δὲ μήλινον ἔλαιον συνεχῶς πινόμενον ἀντὶ τοῦ κοινοῦ καὶ ἐμούμενον.

Πρὸς Κάμπας καὶ Σκώληκας.
κεφ. νδ΄.

Εἰδέναι δεῖ ὅτι αἱ μὲν Κάμπαι οὐκ ἐν αὐτοῖς τοῖς στελέχεσιν ἐμφωλεύουσιν, ἀλλ' ἔξωθεν ἕρπουσαι καταβλάπτουσι τὰ φυτά· οἱ δὲ

1 νῶτα καὶ πάλλει ἐπὶ τῇ τοῦ VW. ἐμπλοίσι διοιδοῖσαν Ph. 2 τολμηρότερος BV. τολμηρώτερος W. ἄνευ «τέ ἐστι» WPh. διαμήνεται περὶ ἄντικρυς Ph. γοῦν πρός V. 3 μεταξὺ συμφαίρει V. 4 ἄνευ «τούτου» VWPh. τούτῳ B. ἐμπνεῖν σφοδρον Ph. ἐμποιεῖ VW. 4-5 καὶ μὴ B. θήγῃ τὸ ἄσθματι μόνον βλάπτειν - - γιγνωμένους Ph. κἂν μόνον θήγειν V. κἂν μὴ μόνον θίγῃ W. 6 τούτου τοῦ ζώου V. παραλημπάνομεν Ph. παραπεμπόμεναι V. παραπέμπονται B. 7 περιθέσθαι Ph. παρατιθέσθαι (ξ. δ.) B. βλαβῆσιν B. 8 αὐτὰ τα χρησιμώτερα V. 9 τούτῳ Ph. 9 παρενεγκτέον (ξ. δ.) B. παρενεκταῖον Ph. 12 κεφ. νδ. Ph. 13 ἄνευ «τοῖς ὑπό» WPh. πιτυοκάμπης ληφθείσης Ph. ποθείσης V. εὔθετος V. ἄνευ «τό» Ph. 14 φλογμὸς ἰσχυρός Ph. 15 παρὰ τὸ ἐντός W. 16 αἰσθησέως B. δὲ καθ' B. καὶ ἄση V. 17 ἄνευ «καὶ» Ph. ἐπὶ τῆς χανθόριδος W τῆς χανθαρίδος Ph. 18 ἀντὶ τοῦ λίτου V. ἀντὶ τοῦ λιτοῦ καὶ PhW. 20 κεφ. νε΄ B. κεφ. νϛ΄ Ph. 21 δὲ δεῖ Ph.

Σκώληκες ἔνδον τῶν δένδρων τρεφόμενοι, ταῦτα ξηραίνουσιν. οὔτε δὲ κάμπαι οὔτε σκώληκες ἅψονται τῶν δένδρων, ἐὰν γράψας ἐπιδήσῃς ἐν αὐτοῖς ταῦτα τὰ ῥήματα τοῦ Ψαλμοῦ «καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον, ἕως τοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται»· ἀλλὰ καὶ τὰ φυτευόμενα οὐ βλάπτουσι κάμπαι ἢ σκώληκες, ἐὰν σικύου ἀγρίου ῥίζαν ἀποβρέξας ἐν ὕδατι, ἐν τούτῳ τὰ σπέρματα βρέξῃς· ἢ κόψας καὶ μίξας ὕδατι, ἐν αὐτῷ τὰ φυτευόμενα βρέξον· ἢ γράψας εἰς ὄστρακον, ῥίψον ἐν τῷ τόπῳ τὸ «ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον» ἢ ἄσφαλτον καὶ θεῖον ὑποκάπνιζε τὰ δένδρα, καὶ διαφθαρήσονται αἱ κάμπαι καὶ οἱ σκώληκες.

Περὶ Αἰλούρου.
κεφ. νε΄.

Αἴλουρος ὄρνιθος οὐχ ἅπτεται, ἐὰν κρεμασθῇ ὑπὸ τὴν πτέρυγα αὐτῆς ἄγριον πήγανον.

Περὶ Σαλαμάνδρας.
κεφ. νϛ΄.

Ἡ Σαλαμάνδρα ἔστι ζῶον ὅμοιον ἀσκαλαβώτῃ· ταχύτερον δὲ τῆς φαρμακίτιδος σαύρας· διαβαίνει δὲ τὸ ζῶον διὰ πυρὸς καιομένου καὶ οὐδὲν πάσχει, περισχιζομένης καὶ ὑποχωρούσης αὐτῇ τῆς φλογός· εἰ δὲ ἐμμείνῃ τῷ πυρὶ ἐπὶ χρόνον τινά, δαπανηθείσης τῆς ἐξ αὐτοῦ ψυχρᾶς καὶ μυξώδους ἐκρεούσης ὑγρότητος, καίεται. φασὶ δὲ αὐτὴν καὶ βάρος ἔχειν, ὅ ἐστὶ σβεστικὸν καὶ ἐναντίον πυρός. Παρέπεται δὲ τοῖς λαβοῦσι τὴν σαλαμάνδραν, γλώσσης φλεγμονή, διανοίας ἀποδισμός, τρόμος μετά τινος νάρκης καὶ ἐκλύσεως· πελιοῦται δὲ αὐτοῖς

1 καὶ ἔνδον Ph. 2 γράψης ἐπιδήσας Ph. 3 ξυλόν B. 4 πεφυτεύμενον δώσει ἐν καίρῳ B. 6 οὐ βλάπτουσι δὲ τὰ φυτευόμενα κάμπαι WPh. συκίου B. 7 ἢ μίξας (ἄνευ «καὶ») B. 8 ἢ εἰς B. 9 καὶ ἔσται Ph. ἄνευ «τὸ» P. πεφυτευόμενον B. 11 οἱ σκώληκες μάλιστα οἱ κάμπαι W. 13 κεφ. νϛ΄ B. κεφ. νζ΄ Ph. 14 αἴλουρος δὲ Ph. ἄψεται BPhP. ὑπὸ τὴν αὐτοῦ πτέρυγα Ph. 17 κεφ. νξ. B. 18 ζῶον ἐστὶ Ph. ἐστὶ B. σκαλαβώτη τραχύτερον V. 19 σάβρας V. 20 τῆς ἐν αὐτῷ φλογὸς V. αὐτῆς τῆς Ph. 21 ἐμμείνει Ph. «τῷ» ξ. γρ. B. δαπανειθείσης ἐν αὐτῷ ψυχρᾶς Ph. 22 ἄνευ «ἐκρεούσης» Ph. 22-23 δὲ αὐτὸ καὶ Ph. ἐστὶ καὶ τοῦτο WPh. σβηστικὸν B. 24 φλογμὸς Ph. ἀποδισμὸς A. ἀποδεσμοὶ BVWPh.

τινὰ μέρη τοῦ σώματος κυκλοτερῶς, ὥστε πολλάκις καὶ σηπόμενα ἀπορρεῖν. Πρῶτον μὲν γὰρ οἱ σπίλοι λευκοὶ φαίνονται κατὰ τὸ σῶμα, εἶτα ἐρυθροί, εἶτα μέλανες μετὰ σήψεως καὶ ῥύσεως τριχῶν. Δοτέον δὲ καὶ τούτοις τὰ ἐπὶ τῶν κανθαρίδων εἰρημένα καὶ ἐμείτωσαν· ἰδίως δὲ πιτυίνην ῥητίνην λεάνας μετὰ μέλιτος, δίδου ἐκλείχειν ἢ χαλβάνην μετὰ μέλιτος ἢ στροβήλια λεῖα μετ' ἀφεψήματος χαμαιπίτυος ἢ κνίδης φύλλα συνεψηθέντα κρίνοις μετ' ἐλαίου· ἢ ᾠὰ χελώνης μετὰ καὶ τοῦ αὐτῆς αἵματος δίδου ξηρῷ καὶ [μετὰ] μελικράτου ἢ ὑδρελαίου· παραδόξως δὲ ποιεῖ ἐπ' αὐτῶν, βατράχων ζωμὸς συνεψηθεὶς μετὰ τῶν ἠρυγγίου ῥιζῶν, χελώνης τε ἄκρα κρέα ζωμευθέντα ποιῶν δίδου· ἔοικε δὲ θεῖον καὶ ἄσφαλτος ἀντιπεπονθέναι καὶ τίτανος.

Περὶ τοῦ πόσα εἴδη Φρύνου.
κεφ. νη'.

Φρύνου δὲ εἰσὶν εἴδη δύο· ὁ μὲν γάρ ἐστι κωφός, ὁ δὲ οὔ· ἔστι δὲ ὁ κωφὸς ἀναιρετικός· οὗτος δὲ νέμεται ἐπὶ τῶν καλάμων, λείχων τὴν δρόσον, δι' οὗ σκευάζεται καὶ τὸ δηλητήριον· παρέπεται δὲ τοῖς λαβοῦσι πυρετὸς καὶ πίμπρησι τὰ ἄκρα· πολλῷ τε ἄσθματι καὶ δυσπνοίᾳ συνέχεται ὁ λαβών· οἴδημα δὲ παρέπεται μετ' ὠχρότητος ἐπιτεταμένης πυρώδους καὶ στόματος δυσωδία καὶ λυγμός· ἐνίοτε δὲ καὶ σπέρματος ἀβούλητος ἔκκρισις. Εἰσὶ δὲ εὐβοήθητοι, μετὰ τὸν τοῦ ὑδρελαίου ἔμετον, λαμβάνοντες ἄκρατον πολὺν ἢ πίσσαν μετ' οἴνου. ῥίζας τε καλάμων ἐν οἷς οἱ αὐτοὶ φρύνοι νέμονται κόψας, μετ' οἴνου

1 κυκλωτερῶς Ph. 2 ἀπορεῖν V. 3 σηψέως B. καὶ ῥήξεως τριχῶν V. 4 τοῖς Ph. κανθαρίδος PhVW. ἐμείτω V. 5 πιτυΐνης V. 6 εἰ στροβίλια V. 7 κρίνοις μετ' Ph. 8 ἄνευ «αὐτῆς» Ph. 8 ἄνευ «καὶ» Ph. 9 ἢ ἐλαίου V. βατράχων δὲ παραδόξως ποιεῖ B βαθρακίου V. 10 ἄνευ «τῶν» B. ἠρριγίου Ph. ῥίζων B. 11 πιὼν Ph. ἄνευ «ἔοικε δὲ» Ph. καὶ θεῖον Ph. 12 καὶ τίτανον Ph.

13 περὶ φρύνου κεφ. νθ Ph. περὶ φρύνου καὶ πόσα εἴδη αὐτοῦ κεφ. νθ B. 15 Φρήνου B. οὐκ B. ἐστὶν εἴδη Ph. 16 λείγχων A. 18 πυρετός· ἐμπίπρησι δὲ τὰ VW. πιμπρᾶται δὲ τὰ Ph. 19 παρέπεται τοῦ σώματος VPh 20 ὀξώδου καὶ (ἄνευ «πυρώδους») V. ἄνευ «καὶ» Ph. στόματός τε δυσώδους V. στόματος δὲ Ph. ἄνευ «δὲ» Ph. 23 ῥίζας δὲ Ph. καλάμων ὅπου αὐτῶν οἱ V καλάμου ὅπου οἱ Ph. φρῆνοι B. ὅπου οἱ αὐτοὶ W.

δίδου πίνειν· ἢ τῆς ἐκεῖσε φυομένης κυπέρου ὅσον ⟨β. μετ' οἴνου ἢ αἵματος θαλασσίας χελώνης μετὰ πιτύας λαγωοῦ καὶ κυμίνου δίδου σὺν οἴνῳ ἢ ἧπαρ φρύνου λιμναίου δίδου φαγεῖν· ἔστι γὰρ ἐνεργές. Πίθον δὲ πυρώσας ἢ κλίβανον ἢ φοῦρνον, καὶ ἀνασπάσας τὸ πῦρ καὶ ἐνθεὶς πλίνθον, κάθιε τὸν κάμνοντα· καὶ ἱδρούτω ἐπὶ πολύ· ἀναγκαζέσθωσαν δὲ καὶ συντόνως περιπατεῖν καὶ τρέχειν καὶ γυμνάζεσθαι διὰ τὸ ἐν αὐτοῖς ναρκῶδες· ἐνεργεῖ γὰρ σφόδρα ἐπ' αὐτῶν τὸ γυμνάσιον, καὶ λουέσθωσαν δὲ καθ' ἡμέραν.

Περὶ τῶν εἰληφότων βάτραχον τὸν ἐν τοῖς ἕλεσι. κεφ. νθ΄.

Τοῖς δὲ βάτραχον ἕλειον εἰληφόσι παρέπεται ἀνορεξία, στόματος καθυγρασμός, ναυτία, ἔμετος καὶ καρδιωγμὸς κουφότερος. Θεραπεύονται δὲ οἴνῳ πολλῷ ποτιζόμενοι σὺν τοῖς θερμαίνουσι πᾶσιν· οἷον ὀπῷ Κυρηναϊκῷ ἢ λασαρίῳ, σιλφίῳ, κυμίνῳ, πεπέρει καὶ τοῖς ὁμοίοις.

---

1 ἢ καὶ τὴν ἐκεῖσε φυομένην κύπερον Ph. ἢ τὴν ἐκφυομένην κύπερον V. ἄνευ «ὅσον» B. οἴνου ἢ ὕδατος θαλασσίου ἢ χελώνην μετὰ PVW. 2 θαλασσίας χελώνης αἷμα B. 4 ἄνευ «ἢ φοῦρνον» V. πῦρ καὶ ἔνθερμον VW. 5 ἔνθειρον A. πῦρ καὶ εὐθὺς B. ἱδροῦται V. 6 γυμναζέσθαι καὶ τὸ ἐν B. 7 ἐνεργὸν γὰρ AP. ἐνεργεῖν B. 8 λουέσθω V. 9 περὶ τοῦ ἐν τοῖς ἕλεσι βατράχου. κεφ. ξ. BPh. 11 ἕλιον V. στομάχου V. 12 ἄνευ «καὶ» Ph. 13 οἶνον πολὺν V. 14 λασσαρίῳ (ξ. διόρθ.) B.

ΠΙΝΑΞ ΛΕΞΕΩΝ

Α

Η

Θ

Ι

Κ

Λ

Μ

Π

Τ

Υ

Φ

Χ

Ψ

Ω

ΦΙΛΟΛΟΓΙΚΑΙ ΜΕΛΕΤΑΙ

Γ'.

Ἐν στίχ. 21 - 25 τῶν Φοινισσῶν Εὐριπίδου, ἡ Ἰοκάστη προλογίζουσα, διηγεῖται περὶ τοῦ ἀνδρὸς Λαΐου τάδε·

Ὁ δ' ἡδονῇ δοὺς εἴς τε βακχεῖον πεσὼν
ἔσπειρεν ἡμῖν παῖδα καὶ σπείρας βρέφος
γνοὺς τἀμπλάκημα τοῦ θεοῦ τε τὴν φάτιν
λειμῶν' ἐς Ἥρας καὶ Κιθαιρῶνος λέπας
δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος.

Ἐν τῇ ῥήσει ταύτῃ δυσχεραίνεται τὸ «καὶ σπείρας βρέφος». Εἶνε δυνατὸν νὰ ῥηθῇ σπείρω βρέφος; Τὸ σπειρόμενον δηλοῦται πάντοτε διὰ τοῦ γενικοῦ ὀνόματος, τοιαῦτα δὲ εἶνε ἐν τῷ προκειμένῳ τὰ παῖς ἢ τέκνον· πᾶν δὲ εἰδικὸν ὄνομα δηλωτικὸν γένους ἢ ἡλικίας τοῦ σπειρομένου εἶνε προφανῶς ἄτοπον.

Διὰ τοῦτο πολλοὶ μὲν τῶν ἑρμηνευτῶν ἐπειράθησαν νὰ διορθώσωσι τὸ χωρίον· ὁ μὲν Βυργέσιος «καὶ σπείρας, φρενός», ἵνα λέγῃ «φρενὸς γνοὺς τἀμπλάκημα κ.τ.λ.»· ὁ δὲ Γεέλιος, «κᾆτα νεόγονον», ἵνα λέγῃ: «κᾆτα δίδωσι βουκόλοισιν ἐκθεῖναι νεόγονον βρέφος»· ἄλλοι δὲ ἀπελπίζουσιν αὐτὸ ὡς ἀνίατον, καὶ ἄλλοι στέργουσιν αὐτὸ ὅπως παρεδόθη, ἀποπειρώμενοι νὰ ἑρμηνεύσωσιν ἄλλοι ἄλλως. Τῶν στεργόντων τὴν παράδοσιν εἶνε καὶ ὁ Βερναρδάκης, οὗ τὴν ἐκδοχὴν καὶ ἑρμηνείαν κρίνω ἀξίαν παραθέσεως ἐνταῦθα διὰ τὸ ἀδόκητον καὶ παρακεκινδυνευμένον. Ὁ Βερν. στίζει μετὰ τὸ σπείρας, ἐκδεχόμενος αὐτὸ ὡς ἁπλῶς εἰρημένον, ἄνευ ἀντικειμένου, τὸ δὲ βρέφος ἀναφέρει εἰς τὴν κυρίαν πρότασιν «δίδωσι βουκόλοισιν ἐκθεῖναι», ὅπου ὅμως διὰ τὰ παρεμπεσόντα πολλὰ οἱονεὶ λησμονηθὲν ἐπαναλαμβάνεται ἐν τέλει τῆς προτάσεως. Λέγει δηλ. ἡ Ἰοκάστη ἐν τῇ καθ' ἡμᾶς δια-

λέκτῳ, τάδε· «Ὁ Λάϊος μᾶς ἔσπειρεν ἕνα παιδί, καὶ ἀφ' οὗ ἔσπειρε, τὸ βρέφος — ἐπειδὴ ἐγνώρισε τὸ λάθος του καὶ ἐνθυμήθη τοῦ θεοῦ τὰ λόγια — δίδει εἰς τοὺς ποιμένας νὰ ἐκθέσουν τὸ βρέφος». Ἀμφιβάλλω ἂν ὁ Βερν. ἔπεισέ τινα τῶν ἀναγνωστῶν του, ὅτι ὁ Εὐριπίδης ἠδύνατο νὰ ἐξυφάνῃ λόγον οὕτως αὐτοκάβδαλον.

Ἐκ πάντων τῶν ἑρμηνευτῶν καὶ διορθωτῶν μόνος ὁ Γεέλιός μοι φαίνεται ὅτι ᾐσθάνθη ποῦ κυρίως κάμνει τὸ χωρίον, ἐκβαλὼν τὸ σπείρας. Ὁ Γεέλιος ἀξιοῖ ὅτι ὅπως ἐν τῷ χρησμῷ 17-20 γίνεται λόγος πρῶτον περὶ σπορᾶς, δεύτερον περὶ τεκνώσεως καὶ τρίτον περὶ τῆς πατροκτονίας, οὕτως ὤφειλε καὶ ἐνταῦθα νὰ δηλωθῇ ἡ γέννησις τοῦ βρέφους πρὸ τῆς ἐκθέσεως αὐτοῦ. Ὁ Βερναρδάκης ἀντικρούων τὸν Γεέλιον, ἰσχυρίζεται ὅτι δὲν ὑπῆρχεν ἀνάγκη νὰ ἐπαναληφθῶσι τὰ αὐτὰ κατὰ τὸν αὐτὸν τρόπον. «Εἶνε δυνατόν, ἐπιφωνεῖ ὁ Βερν., ἀφ' οὗ ἡ Ἰοκάστη λέγει ὅτι ὁ Λάϊος «ἔσπειρε... παῖδα, καί... δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος», νὰ ὑποπτεύσῃ ποτὲ οἱοσδήποτε ἀπαθὴς καὶ ἀπροκατάληπτος ἀναγνώστης, μὴ θηρεύων ἐκ προμελέτης φθορὰς καὶ διορθώσεις στίχων, ὅτι τὸ δοθὲν τοῦτο εἰς τοὺς βουκόλους πρὸς ἔκθεσιν βρέφος ἦτο ἀγέννητον;» Ὁ Βερναρδάκης βεβαίως καλῇ τῇ πίστει ἐν τῇ παραθέσει τῶν Εὐριπιδείων στίχων παρέλιπε τὰ μεταξὺ «καί... δίδωσι», χάριν συντομίας, μὴ ὑποπτεύων ὅτι διὰ τῆς παραλείψεως ἐκείνης τὰ πλημμελῶς ἔχοντα εὐοδοῦνται. Καὶ ὅμως τοῦτο συμβαίνει ἐνταῦθα. Ἐν τῇ διηγήσει ἱστορικῶν γεγονότων, ἄλλως τε καὶ ὅταν γίνεται αὕτη ἐπιτόμως, ὡς ἐνταῦθα ὑπὸ τῆς Ἰοκάστης, πολλὰ παραλείπονται καὶ δὴ καὶ οὐσιώδη, ὅταν ταῦτα εὐκόλως νοῶνται· ἀλλ' ἡ διήγησις πρέπει νὰ γίνεται οὕτως, ὥστε νὰ συγχωρῇ τὴν νόησιν τῶν παραλειπομένων, οὐχὶ δὲ νὰ ἀποκλείῃ αὐτήν. Παραθέτω ἓν παράδειγμα πρὸς διασάφησιν τοῦ ἀξιώματός μου. Διηγοῦμαι ἐπιτόμως τάδε· «Ὁ Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· ἔδωκε δὲ αὐτῷ γυναῖκα τὴν Ῥεβέκκαν, ἐξ ἧς ἐγέννησεν οὗτος τὸν Ἠσαῦ καὶ τὸν Ἰακώβ· οὗτος δ' ἔλαβε γυναῖκα τὴν Ῥαχὴλ κ.τ.λ.». Ἐν τῇ διηγήσει ταύτῃ παραλείπω τὸ μεταξὺ γεννήσεως καὶ γάμου οὐσιῶδες γεγονός, τὸ ὅτι ἠνδρώθησαν οἱ γεννηθέντες καὶ τηλικοῦτοι ὄντες ἐνυμφεύθησαν· ἀλλ' ὁ τρόπος τῆς διηγήσεώς μου συγχωρεῖ τῷ ἀναγνώστῃ νὰ τὸ νοήσῃ αὐτός· καὶ ἄν τις προσέκοπτεν ἐν τούτῳ, δικαίως θὰ ἤλεγχον αὐτὸν διὰ τῶν αὐτῶν, δι' ὧν ὁ Βερ-

ναρδάκης ἐλέγχει τὸν Γεέλιον. Ἂν ὅμως ἡ διήγησίς μου εἶχεν ὧδε· «Ὁ Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, καὶ γεννήσας ἔδωκεν αὐτῷ γυναῖκα τὴν Ῥεβέκκαν, ἐξ ἧς ἐγέννησε τὸν Ἰακώβ· οὗτος δὲ γεννηθεὶς ἔλαβε γυναῖκα τὴν Ῥαχὴλ κ.τ.λ.», θὰ ἠδύνατό τις δικαίως νά με ἐλέγξῃ ὡς παραπαίοντα· διότι αἱ μετοχαὶ ἵστανται κατὰ χρόνον οὕτως ἐγγὺς τοῦ ὑπ' αὐτῶν προσδιοριζομένου ῥήματος, ὥστε ἀποκλείουσι πάντα μεταξὺ χρόνον, καθ' ὃν θὰ ἠδύνατο νὰ διανοηθῇ ὅτι συνέβη ἡ ἀναγκαία ἄνδρωσις. Καὶ ἐν τῷ προκειμένῳ ὡσαύτως· τὸ «καὶ σπείρας δίδωσιν ἐκθεῖναι βρέφος» ἀναιρεῖ τὸν μεταξὺ σπορᾶς καὶ ἐκθέσεως χρόνον, καθ' ὃν ἔπρεπεν ἀναγκαίως νὰ νοῆται ἡ γέννησις.

Ἔπειτα τίνα χρείαν τοῦ λόγου πληροῖ τὸ «καὶ σπείρας» ἐκεῖνο, ἄλλως τε καὶ ἄνευ ἀντικειμένου κείμενον, ὡς τὸ θέλει ὁ Βερναρδάκης; Οὐδεμίαν, ἀποκρίνονται πάντες· ἐτέθη κατὰ ποιητικήν τινα περισσογίαν, πρὸς ἣν ὁ μὲν Κίγκελος παραβάλλει τὸ Ὀμ. Ἰλ. Α 595.

Μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δέ, παιδὸς ἐδέξατο κύπελλον·

ὁ δὲ Βερν. ἐπιμετρῶν, ἐπιμαρτύρεται καὶ τὴν ἡμετέραν δημώδη γλῶσσαν, καὶ μάλιστα τῶν γυναικῶν «τῶν πιστότερον καὶ ἀκραιφνέστερον διασωζουσῶν τὰ πάτρια». Ἀλλὰ τὸ μειδίαμα λευκωλένου θεᾶς εἶνε καὶ ἀξιοθέατον καὶ ἀξιοφάνταστον, καὶ ἔχει κάλλιστα νὰ διατρίβῃ καὶ ὁ ποιητὴς διηγούμενος καὶ ὁ ἀκροατὴς φανταζόμενος. Ἀλλὰ τὸ νὰ διατρίβῃ τις ἐν τῇ διηγήσει περὶ τὴν σπορὰν παιδός! καὶ νὰ γίνεται ἡ διατριβὴ αὕτη παρ' αὐτῆς τῆς ὑποστάσης τὸ δυσωποῦν τὸν ἀκροατὴν πάθημα! Οὔτε πάτριον ἦτό ποτε τὸ ἀσεμνολογεῖν, οὔτε σήμερον θὰ εὑρεθῇ γυνὴ Ἑλληνίς, ἥτις, καὶ ἀναγκαζομένη, θὰ προέφερεν κἂν ἐφάπαξ τὴν λέξιν τὴν δηλωτικὴν τῆς μετὰ τοῦ ἀνδρός της συνουσίας, ἀλλὰ ἀφίνει νὰ ὑπονοῆται τὸ πρᾶγμα ἐκ τῆς διηγήσεως τῶν παρεπομένων αὐτῷ.

Ὁ Εὐριπίδης δὲν εἶνε δυνατὸν νὰ ἔγραψε «καὶ σπείρας». Ἂς ἴδωμεν τί ἐνδέχεται νὰ ἔγραψεν.

Ἐν τῷ Ἴωνι προλογίζων ὁ Ἑρμῆς διηγεῖται ὁμοίαν γέννησιν καὶ ἔκθεσιν βρέφους, αὐτοῦ τοῦ Ἴωνος. Παρὰ πᾶσαν τὴν προμήθειαν, ἣν ἔχει ὁ Εὐριπίδης καὶ οἱ ἄλλοι τραγικοί, νὰ μὴ λέγωσι τὰ αὐτὰ

πράγματα διὰ τῶν αὐτῶν λέξεων, ὅμως δὲν δύνανται παντελῶς νὰ καινολογῶσι περὶ τῶν αὐτῶν. Λέγει λοιπὸν ἐκεῖ ὁ Ἑρμῆς (στίχ. 16-18)

Τεκοῦσ' ἐν οἴκοις παῖδ', ἀπήνεγκεν βρέφος
εἰς ταὐτὸν ἄντρον, οὗπερ ηὐνάσθη θεῷ
Κρέουσα, κἀκτίθησιν ὡς θανούμενον.

Καὶ κατωτέρω (στίχ. 31-33) ὁ Ἀπόλλων πρὸς τὸν Ἑρμῆν·

Λαβὼν βρέφος νεογνὸν ἐκ κοίλης πέτρας,
αὐτῷ σὺν ἄργει σπαργάνοισί θ' οἷς ἔχει,
ἔνεγκε Δελφῶν τἀμὰ πρὸς χρηστήρια.

Καὶ ἔτι κατωτέρω (36-38) ὁ Ἑρμῆς·

Λοξίᾳ δ' ἐγὼ χάριν
πράσσων ἀδελφῷ, πλεκτὸν ἐξάρας κύτος
ἤνεγκα, καὶ τὸν παῖδα κρηπίδων ἔπι
τίθημι ναοῦ τοῦδ', ἀναπτύξας κύτος κ.τ.λ.

Ἐν τῷ α' ἀποσπάσματι, ἐκ τῶν δύο ῥημάτων ἀπήνεγκε κἀκτίθησιν (=ἀπενεγκὼν ἐκτίθησιν) τὸ πρῶτον θὰ ἠδύνατο νὰ παραλειφθῇ ἄνευ βλάβης τινὸς τοῦ λόγου· ὡσαύτως ἐν τῷ β' ἐκ τῶν λαβὼν ἔνεγκε ἠδύνατο νὰ παραλειφθῇ τὸ λαβὼν καὶ ἐν τῷ γ' ἐκ τῶν ἐξάρας ἤνεγκα ἠδύνατο νὰ παραλειφθῇ τὸ ἐξάρας. Ἀλλ' ὅμως δὲν παρελείφθησαν, διότι οἱ ῥητορικοὶ νόμοι οἱ ἐν τῇ ψυχῇ τοῦ Εὐριπίδου ἀπῄτουν τὴν δήλωσιν καὶ τῆς ἐνάρξεως τῆς κινήσεως καὶ ἐνεργείας, οὐχὶ μόνον τοῦ τέλους. Καὶ ἡμεῖς σήμερον «Πάρε τὴ σκοῦπα καὶ σάρωσε τὴν κάμαρα». Καὶ ἐν τῷ προκειμένῳ θὰ ἐλέγομεν «Ὁ πατέρας ἐπῆρε τὸ παιδὶ καὶ τὸ ἔδωκεν εἰς τοὺς ποιμένας νὰ τὸ ἐκθέσουν».

Ἡ ἔννοια αὕτη τῆς ἄρσεως ἢ ἐξάρσεως τοῦ βρέφους ἐκ τοῦ οἴκου πρὸ τῆς ἐκθέσεως λείπει ἐκ τῶν παραδεδομένων, ἀλλ' εἶνε ἀπίθανον ὅτι καὶ ὁ Εὐριπίδης τὴν παρέλιπε, τοσούτῳ μᾶλλον, ὅσον θὰ ἐπλήρου

πως τὸ μεταξὺ σπορᾶς καὶ ἐκθέσεως μέγα χάσμα. Πείθομαι λοιπὸν ὅτι ὁ Εὐριπίδης ἔγραψε «κἀξάρας βρέφος», ἢ «κᾆτ' ἄρας βρέφος», μᾶλλον δὲ τὸ πρῶτον.

Δ'.

Ἐν στίχ. 372 - 373 τῶν Φοινισσῶν Εὐριπίδου λέγει ὁ Πολυνείκης πρὸς τὴν μητέρα πρὸς τοῖς ἄλλοις καὶ τάδε·

Πολύδακρυς δ' ἀφικόμην,
χρόνιος ἰδὼν μέλαθρα καὶ βωμοὺς θεῶν,
γυμνάσια θ' οἷς ἐνετράφην, Δίρκης θ' ὕδωρ·
ὧν οὐ δικαίως ἀπελαθείς, ξένην πόλιν
ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυρροοῦν.

Εἶνε δυνατὸν νὰ ῥηθῇ ἐμμελῶς «ἔχω ὄμμα δι' ὄσσων δακρυρροοῦν» ἀφ' οὗ ὄμμα καὶ ὄσσε εἶνε τὸ αὐτὸ πρᾶγμα;

Ὁ Ἕρμαννος εὑρίσκει αὐτὸ στερκτόν· καὶ ὁ Ναύκιος ὡσαύτως, καὶ ἄνευ ἀνάγκης διορθοῖ «δίοσσον ὄμμα», ἀφ' οὗ τὸ πλημμελῶς ἔχον δὲν θεραπεύεται. Οἱ λοιποὶ ἑρμηνευταὶ ὑπολαμβάνοντες τὴν ῥῆσιν πλημμελῶς ἔχουσαν ἐπιχειροῦσι διορθώσεις· ὁ μὲν Οὐαλκεννάριος «ναίων· ἀειδὲς ὄμμ' ἔχω», ἢ «ναίω, κατηφὲς ὄμμ' ἔχων»· ὁ δὲ Ἐάθιος «ἀεί πως ὄμμ' ἔχων», ὁ δὲ Ῥείσκιος «ἄπαυστον ὄμμ'» ἢ «τὸ δισσὸν ὄμμ'». Αἱ διορθώσεις αὗται δὲν προσκρούουσιν οὔτε εἰς τὴν λογικὴν οὔτε εἰς τὴν γραμματικήν· ἡ δὲ τοῦ Οὐαλκ. «κατηφὲς ὄμμ ἔχων δακρυρροοῦν» μοὶ φαίνεται ὅτι εὐστοχεῖ καὶ τῆς διανοίας, ἂν μὴ τῆς λέξεως τοῦ ποιητοῦ. Πᾶσαι δέ μοι φαίνονται ἀπίθανοι, ἢ ὡς λίαν ἀφιστάμεναι τοῦ παραδεδομένου, ἢ ὡς λίαν ἀφιστάμεναι τῆς Εὐριπιδείου λέξεως.

Ἰδίου λόγου ἀξίας κρίνω τὰς διορθώσεις τοῦ Μυσγραβίου καὶ τοῦ Βερναρδάκη. Ὁ μὲν διώρθωσε «ναίω, δι' ὄσσων νᾶμ' ἔχων δακρυρροοῦν», ἣν καὶ ἀπεδέχθησαν οἱ πλεῖστοι τῶν ἑρμηνευτῶν μέχρι σήμερον, παραθέτοντες δεκάδα τινὰ παραδειγμάτων ἔκ τε τοῦ Εὐριπίδου

καὶ ἐκ τοῦ Σοφοκλέους, ἐν οἷς ἀπαντᾷ δὶς μόνον ἡ φράσις «δακρύων νάματα» καὶ «νάματ' ὄσσων», οὐδαμοῦ δὲ λέγεται ὅτι δακρυρροεῖ τὸ νᾶμα. Ὁ δὲ Βερναρδάκης, «αἷμ' ἔχων δακρυρροῦν», κατὰ τὴν γραφὴν ἑνὸς χργρ., ἣν κηρύττει γνησίαν καὶ ἀπαραχάρακτον· παραθέτει δὲ καὶ αὐτὸς ἄλλην τινὰ δεκάδα παραδειγμάτων, ἐξ ὧν καταφαίνεται ὅτι τὴν τῶν δακρύων ῥοὴν παρίστων πολλάκις οἱ ποιηταὶ ὡς ῥοὴν αἵματος ἐκ τῶν ὀφθαλμῶν, ἵνα αὐξήσωσι τὴν ὀδύνην τοῦ δακρυρροοῦντος, ἀλλ' οὐδ' ἐν τούτοις οὐδαμοῦ λέγεται ὅτι τὸ αἷμα δακρυρροεῖ.

Καὶ εἶνε τῇ ἀληθείᾳ θαυμάσιον καὶ ἀκατανόητον πῶς τοιούτους ἑλληνιστάς, οἷοι ὁ Μυσγράυϊος, ὁ Βρύγκιος, ὁ Πόρσων, ὁ Ματθίας, ὁ Βερναρδάκης, παρέλαθε τὸ ἀνελλήνιστον τῆς φράσεως «νᾶμα, ἢ αἷμα, δακρυρροοῦν!». Ῥεῖ μὲν τὸ δάκρυ, ἢ τὸ αἷμα, ἢ τὸ ὕδωρ· δακρυρροεῖ δέ, ἢ αἱμορροεῖ, ἢ ὑδρορροεῖ (ἂν ἔκειτο!), οὐχὶ τὸ ῥέον, ἀλλ' ἡ πηγὴ αὐτοῦ Ὁμοίως φυλλορροεῖ τὸ δένδρον, οὐχὶ τὰ φύλλα, καὶ πτερορρυεῖ ὁ ὄρνις, οὐχὶ τὰ πτερά, καὶ τριχορρυεῖ ὁ τριχοφορῶν, οὐχὶ αἱ τρίχες.

Τὸ μετ' ὀνόματος σύνθετον ῥέω ἀνήκει εἰς τὴν τάξιν τῶν συνθέτων ἐκείνων ῥημάτων, ἅτινα ἔχουσιν ὡς πρῶτον συνθετικὸν αὐτὸ τὸ ἀντικείμενόν των· οἷον χρυσοχοῶ = χέω χρυσόν, ὑδροφορῶ = φέρω ὕδωρ, οἰνοποτάζω = πίνω οἶνον, στρατηγῶ = ἄγω στρατὸν κ.τ.τ. Διαφέρει δὲ τούτων καθ' ὅτι, ἐν ᾧ τὰ ἁπλᾶ τούτων εἶνε μεταβατικὰ καὶ δέχονται ἀντικείμενον τὸ α' συνθετικόν των, τὸ ἁπλοῦν ῥέω εἶνε ἀμετάβατον καὶ δὲν δύναται νὰ ῥηθῇ ῥέω δάκρυ. Ἐὰν ἀντὶ τοῦ ῥέω δάκρυ μεταχειρισθῶ τὸ ἰσοδύναμον μέν, μεταβατικὸν δέ, χέω δάκρυ, ἔχομεν τελείαν τὴν πρὸς ἐκεῖνα ἀναλογίαν· ὅπως χρυσοχοῶ = χέω χρυσόν, οὕτω καὶ δακρυρροῶ = χέω δάκρυ. Ἀλλ' ὅπως δὲν χρυσοχοεῖ ὁ χρυσός, οὐδὲ τὸ ὕδωρ ὑδροφορεῖ, οὕτως οὐδὲ τὸ δάκρυ, οὐδὲ τὸ νᾶμα, οὐδὲ τὸ αἷμα δακρυρροεῖ.

Ἀφ' οὗ λοιπὸν δὲν εἶνε νοητὸν ὅτι ὁ Εὐριπίδης ὑπέπεσεν εἰς τοιοῦτον δατισμὸν περὶ τὴν γλῶσσάν του, ἐπὶ πασῶν δὲ τῶν ἄλλων διορθώσεων ἐπιλάμπει τὸ ἀπίθανον, τὸ χωρίον παραμένει μέχρι σήμερον ἀνίατον. Καὶ ἀφ' οὗ ἀνὴρ οὕτως ἐλλόγιμος ἐν τοῖς Ἑλλην. γράμμασιν, οἷος ὁ Ναύκιος, ἐτόλμησε νὰ πλάσῃ καὶ νὰ εἰσαγάγῃ λέξιν ἀνύπαρκτον, τερατωπὸν καὶ οὐδὲν θεραπεύουσαν, «δίοσσον ὄμ-

μα», θαρρῶν προβαίνω νὰ εἴπω τὴν γνώμην μου. Ἡ δὲ Μοῦσα τοῦ Εὐριπίδου παρέστω μοι ἀντιλήπτωρ, ἵνα εἴπω τι ἐμμελέστερον.

Νομίζω λοιπὸν ὅτι ὁ Εὐριπίδης ἔγραφε·

ναίω, δυσωπὸν ὄμμ' ἔχων δακρυρροοῦν.

Ἡ λέξις δυσωπὸς δὲν ἀνευρίσκεται ἐν τοῖς περισωθεῖσι συγράμμασιν, ἀλλὰ τὰ ἐξ αὐτῆς παράγωγα, δυσωπία καὶ δυσωπεῖσθαι, ὧν αἱ ἔννοιαι προϋποθέτουσι τὴν τοῦ ἐπιθέτου, διότι ἰσοδυναμοῦσι πρὸς τὸ δυσωπὸν εἶναι ἢ γίγνεσθαι, ὅπως ἡ ἀναισχυντία καὶ τὸ ἀναισχυντεῖν πρὸς τὸ ἀναίσχυντον εἶναι, καὶ ἡ πειθαρχία καὶ τὸ πειθαρχεῖν πρὸς τὸ πείθαρχον εἶναι. Προϋπαρχούσης ἀναγκαίως τῆς ἐννοίας τοῦ δυσωπός, αὐτὸ τὸ ὄνομα ἐνδέχεται νὰ περιέπεσε σὺν τῷ χρόνῳ εἰς ἀχρηστίαν, ἀναπληρούμενον ὑπὸ λέξεως συνωνύμου ἢ καὶ ὑπ' αὐτῶν τῶν παραγώγων του. Οὕτω π. χ. τὸ πειθαρχεῖν καὶ ἡ πειθαρχία προϋποθέτουσι τὴν ἔννοιαν καὶ τὴν λέξιν πείθαρχος. Ἡ λέξις αὕτη εὑρίσκεται ἅπαξ μόνον ἐν τοῖς περισωθεῖσιν, ἐν Αἰσχ. Πέρσ. 206 «πειθάρχῳ φρενί». Ἂν συνέβαινε νὰ συγκαταποντισθῇ καὶ αὐτὴ μετὰ μυρίων ἄλλων, ἐγὼ νομίζω ὅτι θὰ ἠδύνατό τις ἀσφαλῶς νὰ μαντεύσῃ τὴν ὕπαρξίν της, ἔχων τεκμήριον τὸ πειθαρχεῖν καὶ τὴν πειθαρχίαν.

Προσεπιρρωννύει τὴν τοῦ δυσωπὸς ὕπαρξιν ἡ τῶν ἄλλων ἀπὸ τοῦ -ωπὸς συνθέτων, εὐωπός, φαιδρωπός, χαρωπός, ἀγριωπός, σκυθρωπός, αἱματωπός, ἀρρενωπός, λέξεις προσφιλεῖς τοῖς ποιηταῖς, μάλιστα δὲ τῷ Εὐριπίδῃ. Ὀρ. 981 «μορφῇ μὲν οὐκ εὐωπός, ἀνδρεῖος δ' ἀνήρ». Αὐτθ. 892 «ὄμμα φαιδρωπόν». Ἡρ. Μ. 990 «ἀγριωπὸν ὄμμα Γοργόνος». Βάκχ. 542 «ἀγριωπὸν τέρας». Φοιν. 1345 «σκυθρωπὸν ὄμμα καὶ πρόσωπον ἀγγέλου». Αὐτθ. 878 «αἱματωποὶ δεργμάτων διαφθοραί».

Ἡ πρώτη σημασία τοῦ δυσωποῦμαι εἶνε διαστρέφω, χαλῶ τὸ πρόσωπον ἢ τὴν ὄψιν· τοῦτο δὲ ἢ δι' αἰσχύνην, ἢ φόβον, ἢ ἔλεον· ὅθεν ἐντροπιάζομαι, φοβοῦμαι, κάμπτομαι ἢ κινοῦμαι εἰς ἔλεον. Ὁ Πολυνείκης λοιπὸν λέγει «κατοικῶ ὡς φυγὰς (ὁ Ὅμηρος θὰ ἔλεγεν ἀτίμητος μετανάστης) ξένην πόλιν, ἔχων τὸ ὄμμα ἐντροπιασμένον δακρυρροοῦν».

Ε΄.

Ἐν στίχ. 476-479 τῶν Φοινισσῶν Εὐριπίδου λέγει ὁ Πολυνείκης πρὸς τὴν μητέρα καὶ τὸν Ἐτεοκλέα πρὸς τοῖς ἄλλοις καὶ τάδε:

Ἐγὼ δὲ πατρὸς δωμάτων προὐσκεψάμην
τοὐμόν τε καὶ τοῦδ' ἐκφυγεῖν χρῄζων ἀρὰς
ἅς Οἰδίπους ἐφθέγξατ' εἰς ἡμᾶς ποτε
ἐξῆλθον ἔξω τῆσδ' ἑκὼν αὐτὸς χθονὸς κτλ.

Ὁ Οὐαλκενάριος ἐδυσχέραινε τὸν δὲ ἐν τῷ «ἐγὼ δέ», καὶ διώρθου «ἔγωγε». Οἱ ἐπιγενόμενοι ἔστερξαν τὸν δέ, μέχρις οὗ ἐπελθὼν ὁ Βερναρδάκης πάλιν τὸν ἐκβάλλει, ὡς τὴν ἀληθῆ πέτραν τοῦ σκανδάλου. Οὔτε ἀντιθετικός, λέγει, εἶνε, οὔτε μεταβατικός, οὔτε θετικός. Ἐγὼ αἰσθάνομαι αὐτὸν ὡς μεταβατικὸν ἅμα καὶ ἀντιθετικόν. Μεταβατικὸς μὲν εἶνε ἀπὸ τοῦ προοιμίου τοῦ λόγου τοῦ Πολυνείκους ἐπὶ τὸ θέμα του. Ὅτι ἡ μετάβασις γίνεται συνηθέστερον ἀσυνδέτως, ἢ διὰ τοῦ γάρ, εἶνε γνωστὸν καὶ ὑποκείσθω· ἀλλὰ καὶ διὰ τοῦ δέ. Οὕτω Ὁμ. Ὀδ. I, 52

Τότε δή ῥα κακὴ Διὸς αἶσα παρέστη
ἡμῖν αἰνομόροισιν, ἵν' ἄλγεα πολλὰ πάθοιμεν·
στησάμενοι δ' ἐμάχοντο μάχην παρὰ νηυσὶ θοῇσιν κτλ.

Ὁμοίως καὶ παρὰ Θουκ. Γ' 44 ὁ Διόδοτος, ἀφοῦ ἐπροοιμιάσατο πολλὰ καὶ καλὰ ἐν γένει, μεταβαίνει εἰς τὸ θέμα τοῦ λόγου του διὰ τῶνδε·

«Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μυτιληναίων κτλ.»

